Primitive Liturgies.

S. Mark.- S. James.- S. Clement.

S. Chrysostom.- S. Basil.

Edited by the

Rev. J. M. Neale M.A

R. L. Balfour

1923

THE LITURGIES

OF

S. MARK, S. JAMES, S. CLEMENT, S. CHRYSOSTOM, S. BASIL:

OR

ACCORDING TO THE USE OF THE CHURCHES

OF

ALEXANDRIA, JERUSALEM, CONSTANTINOPLE,

AND THE FORMULA OF THE

Apostolic Constitutions.

EDITED BY THE

REV. J. M. NEALE, M.A.,

WARDEN OF SACKVILLE COLLEGE.

LONDON:

J. T. HAYES, LYALL PLACE, EATON SQUARE.

1859.

W. M. WATTS, CROWN COURT, TEMPLE BAR.

PREFACE.

It has always been my wish, since, some twenty years ago, I began to make the Eastern Liturgies the subject of my especial study, to publish their Primitive Forms in a shape which might be accessible to every one.

That desire, through the mercy of God, has now been accomplished; and the Liturgies which, till lately could not be procured in one volume, nor at a less expense than twenty or five-and-twenty shillings, are now placed within the reach of all my brethren.

I had at first intended to reprint them in the original only; but, as the work advanced, I was so earnestly entreated to bring out a translation in the same shape, that I could not decline a task which, it was urged, might be exceedingly useful.

The change of plan must account for the omission of any notes to the latter Liturgies, or an introduction to the whole: these I reserve for the translation.

I earnestly trust that this collection of valuable monuments of Christian antiquity may tend to the propagation

among us of the Primitive Faith regarding the Holy Eucharist. These documents are the purest fountains of Eucharistic teaching. I feel it a great privilege to have been made the means of rendering them more accessible than ever before to my brethren.

Sackville College,
Jan. 21, 1859.

THE LITURGY

OF

SAINT MARK THE EVANGELIST,

OR

ACCORDING TO THE USE OF THE

Alexandrian Church.

EDITED BY THE

REV. J. M. NEALE, M.A.,

WARDEN OF SACKVILLE COLLEGE.

LONDON:

J. T. HAYES, LYALL PLACE, EATON SQUARE.

W. M. WATTS, CROWN COURT, TEMPLE BAR.

TO THE

LORD BISHOP OF EXETER,

THE CHAMPION

OF PRIMITIVE LITURGICAL DOCTRINE

IN THE

CHURCH OF ENGLAND,

THESE LITURGIES,

THE EVERLASTING HERITAGE OF THE WHOLE

CATHOLIC CHURCH,

ARE, BY HIS LORDSHIP'S PERMISSION,

DEDICATED.

PREFACE.

THE general form and arrangement of the Liturgy of S. Mark may safely be attributed to the Evangelist himself, and to his immediate followers, S. Anianus, S. Abilius, and S. Cerdo. With the exception of certain manifestly interpolated passages, it had probably assumed its present appearance by the end of the second century. Its Liturgical peculiarity is, the prefixing of the Great Intercession for Quick and Dead to the words of Institution, instead of affixing them to the Invocation of the HOLY GHOST, as does the Antiochene family—or inserting them between the words of Institution and the Invocation, as does the Nestorian.

There is but one important manuscript of this Liturgy, the *Codex Rossanensis*. In my edition (in the *Tetralogia Liturgica*) I had followed, almost implicitly, Renaudot's reprint of that Codex. The few places where I then varied from it, or where nine years' additional study have led me to prefer another reading, are marked thus, †. The clauses in brackets [ ] are additions which seemed re-

quired by the sense, and are given either from conjecture, or from the parallel passages in other Liturgies.

Those who are anxious to pursue the subject of the Alexandrian Liturgy may consult Renaudot, *Liturgiarum Orientalium Collectio* (Leslie, 1847), vol. ii. pp. 120—148; Daniel, *Codex Liturgicus* (Leipsic, Weigel, 1853), Par. iv. Fasc. i. pp. 134—167; or my own *Introduction to the Holy Eastern Church*, vol. i. pp. 359—526.

Sackville College, *Easter Eve*, 1858.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΜΑΡΚΟΥ ΜΑΘΗΤΟΥ ΤΟΥ ΑΓΙΟΥ ΠΕΤΡΟΥ.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.
Ὁ λαός. Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος. Προσεύξασθε.
Ὁ λαός. Κύριε ἐλέησον. Κύριε ἐλέησον. Κύριε ἐλέησον.

Ὁ δὲ ἱερεὺς εὔχεται μυστικῶς.

Εὐχαριστοῦμέν σοι καὶ ὑπερευχαριστοῦμεν, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ πάντα, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν, ὅτι ἐσκέπασας, ἐβοήθησας, ἀντελάβου, καὶ παρήγαγες ἡμᾶς τὸν παρελθόντα χρόνcν τῆς ζωῆς ἡμῶν, καὶ ἤγαγες ἡμᾶς ἕως τῆς ὥρας ταύτης, ἀξιώσας πάλιν παραστῆναι ἐνώπιόν σου ἐν τόπῳ ἁγίῳ σου ἄφεσιν αἰτοῦντες τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἱλασμὸν παντὶ τῷ λαῷ σου. Καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε φιλάνθρωπε, ἀγαθὲ, δὸς ἡμῖν τὴν ἁγίαν ἡμέραν ταύτην, καὶ ἅπαντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν ἐπιτελέσαι ἀναμαρτήτως, μετὰ πάσης χαρᾶς, ὑγιείας, σωτηρίας, καὶ παντὸς ἁγιασμοῦ, καὶ τοῦ σοῦ φόβου. Πάντα δὲ φθόνον, πάντα φόβον, πάντα πειρασμὸν, πᾶσαν σατανικὴν ἐνέργειαν, πᾶσαν πονηρῶν ἀνθρώπων ἐπιβουλὴν, ἐκδίωξον ἀφ' ἡμῶν ὁ Θεὸς, καὶ ἀπὸ τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. Τὰ καλὰ καὶ τὰ συμφέροντα ἡμῖν ἐπιχορήγησον· εἴ τι σοι ἡμάρτομεν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, σὺ ὡς ἀγαθὸς καὶ

φιλάνθρωπος παριδεῖν καταξίωσον, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς ὁ Θεὸς ἐλπίζοντας ἐπί σοι, μηδὲ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, καὶ ἐκ τῶν ἔργων αὐτοῦ, χάριτι καὶ οἰκτιρμῷ καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ· [Ἐκφώνως] δι' οὗ καὶ μεθ' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος, ἐν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν.
Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.
Ὁ λαός. Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος. Προσεύξασθε ὑπὲρ τοῦ βασιλέως.
Ὁ λαός. Κύριε ἐλέησον. Κύριε ἐλέησον. Κύριε ἐλέησον.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Δέσποτα Κύριε ὁ Θεὸς, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δεόμεθα καὶ παρακαλοῦμέν σε, τὸν βασιλέα ἡμῶν ἐν εἰρήνῃ καὶ ἀνδρίᾳ καὶ δικαιοσύνῃ διαφύλαξον. Καθυπόταξον αὐτῷ ὁ Θεὸς πάντα ἐχθρὸν καὶ πολέμιον· ἐπιλαβοῦ ὅπλου καὶ † θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν αὐτοῦ. Δὸς αὐτῷ ὁ Θεὸς νίκας, εἰρηνικὰ φρονεῖν ἡμᾶς, καὶ πρὸς τὸ ὄνομά σου τὸ ἅγιον· ἵνα καὶ ἡμεῖς ἐν τῇ γαληνότητι τῶν ἡμερῶν αὐτοῦ ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ· [Ἐκφώνως] δι' οὗ καὶ μεθ' οὗ σοι ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν.
Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.
Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος. *Προσεύξασθε ὑπὲρ τοῦ πάπα καὶ ἐπισκόπου.*

Ὁ λαός. *Κύριε ἐλέησον. Κύριε ἐλέησον. Κύριε ἐλέησον.*

Ὁ ἱερεύς.

Δέσποτα Κύριε ὁ Θεὸς, ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δεόμεθα καὶ παρακαλοῦμέν σε φιλάνθρωπε, ἀγαθὲ, τὸν ἁγιώτατον καὶ μακαριώτατον ἀρχιερέα ἡμῶν πάπαν Δ΄. καὶ τὸν ὁσιώτατον ἐπίσκοπον Δ΄. συντηρῶν, συντήρησον ἡμῖν αὐτοὺς ἔτεσι πολλοῖς εἰρηνικῶς, ἐκτελοῦντας τὴν ὑπό σου ἐμπεπιστευμένην ἁγίαν ἀρχιερωσύνην, κατὰ τὸ ἅγιον καὶ μακάριόν σου θέλημα, ὀρθοτομοῦντας τὸν λόγον τῆς ἀληθείας, σὺν πᾶσιν ὀρθοδόξοις ἐπισκόποις, πρεσβυτέροις, διακόνοις, ὑποδιακόνοις, ἀναγνωσταῖς, ψάλταις τὲ καὶ λαϊκοῖς, σὺν παντὶ τῷ πληρώματι τῆς ἁγίας καὶ μόνης καθολικῆς ἐκκλησίας, εἰρήνην καὶ ὑγιείαν καὶ σωτηρίαν αὐτοῖς χαριζόμενος. Τὰς δὲ εὐχὰς αὐτῶν, ἃς ποιοῦσιν ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς ὑπὲρ αὐτῶν, πρόσδεξαι, Κύριε, εἰς τὸ ἅγιον καὶ ἐπουράνιον καὶ λογικόν σου θυσιαστήριον. Πάντα δὲ ἐχθρὸν τῆς ἁγίας σοῦ ἐκκλησίας καθυπόταξον ὑπὸ τοὺς πόδας αὐτῶν ἐν τάχει, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ· [Ἐκφώνως] *δι' οὗ καὶ μεθ' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ λαός. *Ἀμήν.*

Ὁ ἱερεύς. *Εἰρήνη πᾶσιν.*

Ὁ λαός. *Καὶ τῷ πνεύματί σου.*

Ὁ διάκονος. *Ἐπὶ προσευχὴν σταθῆτε.*

Ὁ λαός. *Κύριε ἐλέησον.* τρίς.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται εὐχὴν τῆς εἰσόδου καὶ εἰς τὸ θυμίαμα.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν δωδεκάφωτον λαμπάδα τῶν δώδεκα ἀποστόλων ἐκλεξάμενος, καὶ ἐξαποστείλας αὐτοὺς ἐν ὅλῳ τῷ κόσμῳ κηρύξαι καὶ διδάξαι τὸ εὐαγγέλιον τῆς βασιλείας σου, καὶ θεραπεύειν [πᾶσαν] νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, καὶ ἐμφυσήσας εἰς τὰ πρόσωπα αὐτῶν, καὶ εἰπὼν αὐτοῖς, Λάβετε Πνεῦμα ἅγιον, τὸ παράκλητον· ἄν τινων ἀφίετε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατεῖτε, κεκράτηνται· οὕτως καὶ ἐφ᾽ ἡμᾶς τοὺς περιεστηκότας δούλους σου, ἐν τῇ εἰσόδῳ τῆς ἱερουργίας, † σὺν τοῖς ἐπισκόποις, πρεσβυτέροις, διακόνοις, ἀναγνώσταις, ψάλταις τε καὶ λαϊκοῖς, σὺν παντὶ τῷ πληρώματι τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· ῥῦσαι ἡμᾶς, Κύριε, ἀπὸ ἀρᾶς καὶ κατάρας, καὶ ἀπὸ ἀναθέματος καὶ δεσμοῦ καὶ ἀφορισμοῦ, καὶ ἐκ τῆς μερίδος τοῦ ἀντικειμένου· καὶ καθάρισον ἡμῶν τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ καὶ ἀπὸ πάσης ῥᾳδιουργίας· ἵνα ἐν καθαρᾷ καρδίᾳ καὶ καθαρῷ συνειδότι προσφέρωμέν σοι τὸ θυμίαμα τοῦτο, εἰς ὀσμὴν εὐωδίας, καὶ εἰς ἄφεσιν ἁμαρτιῶν ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς Υἱοῦ· [Ἐκφώνως] δι᾽ οὗ καὶ μεθ᾽ οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ [σου] Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν.
Ὁ διάκονος. Ὀρθοί.

Καὶ ψάλλουσιν. Ὁ μονογενὴς [Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀθάνατος ὑπάρχων, καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηριαν σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθεις τε, Χριστὲ ὁ Θεὸς, θανάτῳ θάνατον πατή-

σας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Καὶ γίνεται ἡ εἴσοδος τοῦ εὐαγγελίου, καὶ λέγει ὁ διάκονος, Ἐπὶ προσευχήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.
Ὁ λαός. Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος. Ἐπὶ προσευχήν.
Ὁ λαός. Κύριε ἐλέησον.

Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέον ἡμᾶς.

Ὁ ἱερεὺς εὔχεται εὐχὴν τοῦ τρισαγίου.

Δέσποτα Κύριε, Ἰησοῦ Χριστὲ, ὁ συναΐδιος Λόγος τοῦ ἀνάρχου Πατρὸς, ὁ καθ' ἡμᾶς γενόμενος κατὰ πάντα χωρὶς ἁμαρτίας ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν· ὁ ἐξαποστείλας τοὺς ἁγίους σου μαθητὰς καὶ ἀποστόλους κηρύξαι καὶ διδάξαι τὸ εὐαγγέλιον τῆς βασιλείας σου, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ σου, αὐτὸς καὶ νῦν, Δέσποτα, ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· καὶ καταύγασον τοὺς ὀφθαλμοὺς τῆς διανοίας, εἰς κατανόησιν τῶν θείων σου λογίων· καὶ ἱκάνωσον ἡμᾶς ἀκροάτας αὐτῶν γενέσθαι· καὶ μὴ μόνον ἀκροάτας, ἀλλὰ καὶ ποιητὰς λόγου· γενόμενοι εἰς τὸ καρποφορῆσαι, καὶ ποιῆσαι καρποὺς ἀγαθοὺς, ἀνὰ τριάκοντα καὶ ἐν ἑκατὸν, ὅπως καταξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε· [Ἐκφώνως] σὺ γὰρ εἶ εὐαγγελισμὸς, σωτὴρ καὶ φύλαξ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Κύριε ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν καὶ τὸν τρισάγιον ὕμνον ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν.

Καὶ μετὰ τρισάγιον, σφραγίζει ὁ ἱερεὺς τὸν λαὸν, λέγων. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Εἶτα τὸ πρόσχωμεν, ὁ ἀπόστολος, ὁ πρόλογος τοῦ ἀλληλούϊα. Οἱ διάκονοι κατὰ ῥητὸν λέγουσι, Κύριε εὐλόγησον.

Ὁ ἱερεὺς λέγει. Ὁ Κύριος εὐλογήσῃ καὶ συνδιακονήσῃ ὑμῖν, τῇ αὐτοῦ χάριτι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἱερεὺς πρὸ τοῦ εὐαγγελίου βάλλει θυμίαμα, λέγων οὕτως.

Θυμίαμα προσφέρομεν ἐνώπιον τῆς ἁγίας δόξης σου, ὁ Θεός· προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος, ὅτι εὐλογημένος ὑπάρχεις, καὶ σὺ τὴν δόξαν σου ἀνάπεμψον.

Ὁ διάκονος ὅτε μέλλει εἰπεῖν τὸ εὐαγγέλιον λέγει, Κύριε εὐλόγησον.

Ὁ ἱερεύς. Ὁ Κύριος εὐλογήσῃ καὶ ἐνισχύσῃ, καὶ ἀκροατὰς ἡμᾶς ποιήσῃ τοῦ ἁγίου αὐτοῦ εὐαγγελίου, ὁ ὢν εὐλογητὸς Θεὸς, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος. Στάθητε, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Καὶ λέγει τὸ εὐαγγέλιον ὁ διάκονος.

Τὴν συνάπτην ὁ ἱερεὺς ἐπεύχεται.

Τοὺς νοσοῦντας, Κύριε, τοῦ λαοῦ σου ἐπισκεψάμενος ἐν ἐλέει καὶ οἰκτιρμοῖς ἴασαι. Τοὺς ἀποδημήσαντας

ἡμῶν ἀδελφοὺς, ἢ μέλλοντας ἀποδημεῖν, ἐν τῷ τόπῳ κατευόδωσον ἕκαστον εἰς τὸν καιρόν. Τοὺς ἀγαθοὺς ὑετοὺς κατάπεμψον ἐπὶ τοὺς χρήζοντας καὶ ἐπιδεομένους τόπους. Τὰ ποτάμια ὕδατα ἀνάγαγε ἐπὶ τὸ μέτρον αὐτῶν, κατὰ τὴν σὴν χάριν. Τοὺς καρποὺς τῆς γῆς αὔξησον εἰς σπέρμα καὶ εἰς θερισμόν. Τὴν βασιλείαν τοῦ δούλου σου, ὃν ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς, ἐν εἰρήνῃ καὶ ἀνδρίᾳ καὶ δικαιοσύνῃ καὶ γαληνότητι διαφύλαξον. Τὴν ταπεινὴν καὶ ἐλεεινὴν καὶ φιλόχριστον πόλιν ταύτην, ῥῦσαι αὐτὴν, ὁ Θεὸς, ἀφ' ἡμερῶν πονηρῶν, ἀπὸ λιμοῦ, λοιμοῦ, καὶ ἐπιστάσεως ἐθνῶν, ὡς καὶ Νινευὶ τῆς πόλεως ἐφείσω· ὅτι ἐλεήμων καὶ οἰκτίρμων εἶ, καὶ ἀμνησίκακος ἐπὶ κακίας ἀνθρώπων. Σὺ διὰ τοῦ προφήτου σου Ἠσαΐου εἶπας, Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης, τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. Δι' ὃ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ, ὑπεράσπισαι τῆς πόλεως ταύτης, διὰ τὸν μάρτυρα καὶ εὐαγγελιστὴν Μάρκον, τὸν ὑποδείξαντα ἡμῖν ὁδὸν τῆς σωτηρίας, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, [Ἐκφώνως] δι' οὗ καὶ μεθ' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι.

Ὁ διάκονος. Ἄρξαι.

Καὶ λέγουσι τὸν στίχον.[N] Ὁ διάκονος λέγει τὰς τρεῖς.

Ὁ ἱερεὺς ἐπεύχεται.

Δέσποτα Κύριε, ὁ Θεὸς, ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δεόμεθα καὶ παρακαλοῦμέν σε· τὴν ἐξ οὐρανοῦ εἰρήνην βράβευσον ταῖς ἁπάντων ἡμῶν καρδίαις· ἀλλὰ καὶ τοῦ βίου τούτου τὴν εἰρήνην ἡμῖν δώρησαι. Τὸν ἁγιώτατον καὶ μακαριώτατον ἡμῶν πάπαν[M] τὸν Δ'. καὶ τὸν ὁσιώτατον ἡμῶν

ἐπίσκοπον τὸν Δ'. συντηρῶν, συντήρησον ἡμῖν αὐτοὺς ἔτεσι πολλοῖς, εἰρηνικῶς ἐκτελοῦντας τὴν ὑπό σου ἐμπεπιστευμένην ἁγίαν ἀρχιερωσύνην, κατὰ τὸ ἅγιον καὶ μακάριον σου θέλημα, ὀρθοτομοῦντας τὸν λόγον τῆς ἀληθείας, σὺν πᾶσιν ὀρθοδόξοις ἐπισκόποις, πρεσβυτέροις, διακόνοις, ὑποδιακόνοις, ἀναγνώσταις, ψάλταις, σὺν παντὶ τῷ πληρώματι τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. Τὰς ἐπισυναγωγὰς ἡμῶν, Κύριε, εὐλόγησον· δὸς αὐτὰς ἀκωλύτως καὶ ἀνεμποδίστως γενέσθαι κατὰ τὸ ἅγιόν σου θέλημα· οἴκους εὐχῶν, οἴκους εὐλογιῶν ἡμῖν τὲ καὶ τοῖς μεθ' ἡμᾶς δούλοις σου εἰς τὸν αἰῶνα δώρησαι.

'Εξεγέρθητι, Κύριε, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου· φυγέτωσαν πάντες οἱ μισοῦντες τὸ ὄνομά σου τὸ ἅγιον. Τὸν δὲ λαόν σου τὸν πιστὸν καὶ ὀρθόδοξον εὐλόγησον· ποίησον αὐτὸν εἰς χιλιάδας καὶ μυριάδας καὶ μὴ κατισχύσῃ θάνατος ἁμαρτίας καθ' ἡμῶν, μηδὲ κατὰ παντὸς τοῦ λαοῦ σου, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, [Ἐκφώνως] *δι' οὗ καὶ μεθ' οὗ σοι ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι.*

Ὁ λαός. *Ἀμήν.*
Ὁ ἱερεύς. *Εἰρήνη πᾶσιν.*
Ὁ λαός. *Καὶ τῷ πνεύματί σου.*

Ὁ διάκονος.

Βλέπετε μή τις τῶν κατηχουμένων.

Καὶ ψάλλουσι τὸν χερουβικόν.

Οἱ τὰ χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον ᾄδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν, ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξάμενοι ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν, ἀλληλούϊα.

Ὁ ἱερεὺς βάλλει θυμίαμα εἰς τὸ εἰσόδιον, καὶ εὔχεται.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντων ἀπροσδεὴς, δέξαι τὸ θυμίαμα τοῦτο, ἐξ ἀναξίου χειρὸς προσφερόμενον, καὶ τῆς παρά σου εὐλογίας πάντας ἡμᾶς ἀξίωσον. Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

ΚΑΙ *εἰσέρχονται τὰ ἅγια εἰς τὸ θυσιαστήριον,*

καὶ ὁ ἱερεὺς εὔχεται οὕτως.

Ἅγιε, ὕψιστε, φοβερὲ, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, Κύριε, αὐτὸς ἡμᾶς ἁγίασον, καὶ ἀξίωσον τῆς φοβερᾶς σου ἱερωσύνης, καὶ προσάγαγε ἡμᾶς τῷ τιμίῳ σου θυσιαστηρίῳ, μετὰ πάσης συνειδήσεως ἀγαθῆς· καὶ καθάρισον ἡμῶν τὰς καρδίας ἀπὸ παντὸς μολυσμοῦ· πᾶσαν αἴσθησιν πονηρὰν ἐκδίωξον ἀφ᾽ ἡμῶν. Ἁγίασον τὸν νοῦν καὶ τὴν ψυχήν· καὶ δὸς ἡμῖν τὴν τῶν ἁγίων πατέρων ἡμῶν ἐπιτελεῖν λατρείαν, μετὰ φόβου σου, ἐξιλασκόμενοι τὸ πρόσωπόν σου διὰ παντός. Σὺ γὰρ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν.

Ὁ διάκονος.

Ἀσπάσασθε ἀλλήλους.

Ὁ ἱερεὺς εὔχεται τὸν ἀσπασμόν.

Δέσποτα Κύριε παντοκράτορ, οὐρανόθεν ἐπίβλεψον ἐπὶ τὴν ἐκκλησίαν σου, καὶ ἐπὶ πάντα τὸν λαόν σου, καὶ πᾶν τὸ ποίμνιόν σου, καὶ σῶσον πάντας ἡμᾶς τοὺς ἀναξίους δούλους σου, τὰ θρέμματα τῆς σῆς ἀγέλης· καὶ δώρησαι ἡμῖν τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην καὶ τὴν σὴν βοήθειαν, καὶ κατάπεμψον ἡμῖν τὴν δωρεὰν τοῦ παναγίου σου Πνεύματος, ὅπως ἐν καθαρᾷ καρδίᾳ καὶ συνειδήσει ἀγαθῇ ἀσπασώμεθα ἀλλήλους

ἐν φιλήματι ἁγίῳ, μὴ ἐν ὑποκρίσει, μὴ τὴν τοῦ ἀλλοτρίου κεκτημένοι προαίρεσιν, ἀλλὰ ἄμωμον καὶ ἄσπιλον ἐν ἑνὶ πνεύματι, ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ τῆς ἀγάπης, ἓν σῶμα καὶ ἓν πνεῦμα, ἐν μιᾷ πίστει, καθὼς καὶ ἐκλήθημεν, ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ἡμῶν, ὅπως καταντήσωμεν οἱ πάντες εἰς τὴν θεῖαν καὶ ἀπέραντον στοργὴν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ.

Εἶτα ὁ ἱερεὺς βάλλει θυμίαμα, λέγων.

Θυμίαμα προσφέρεταί τῷ ὀνόματί σου· ἀναληφθήτω δὴ δεόμεθα ἐκ τῶν πενιχρῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, εἰς ἱλασμὸν παντὸς τοῦ λαοῦ σου. Ὅτι σοι πρέπει πᾶσα δόξα, τιμὴ, προσκύνησις, καὶ εὐχαριστία, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸν ἀσπασμὸν ἐκφώνως ὁ διάκονος.

Προσφέρειν κατὰ τρόπους στάθητε.

Ὁ ἱερεὺς σφραγίζων τοὺς δίσκους καὶ τὰ ποτήρια, ἐκφώνως.

Πιστεύω εἰς ἕνα Θεόν, κ.τ.λ.

Ὁ διάκονος. Ἐπὶ προσευχὴν στάθητε.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Προσεύξασθε ὑπὲρ τῶν προσφερόντων.

Ὁ ἱερεὺς λέγει εὐχὴν τῆς προθέσεως.

Δέσποτα Ἰησοῦ Χριστὲ, Κύριε, ὁ σύναρχος Λόγος τοῦ ἀνάρχου Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, ὁ μέγας ἀρχιερεὺς, ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ἀναγαγὼν ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν, ὁ δοὺς ἑαυτὸν ἀμνὸν ἄμωμον ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, δεόμεθα καὶ

παρακαλοῦμέν σε, Κύριε φιλάνθρωπε, ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν ἄρτον τοῦτον καὶ ἐπὶ τὰ ποτήρια ταῦτα, ἃ ἡ παναγία τράπεζα ὑποδέχεται δι' ἀγγελικῆς λειτουργίας καὶ ἀρχαγγελικῆς χοροστασίας καὶ ἱερατικῆς ἱερουργίας, εἰς τὴν δόξαν καὶ ἀνακαινισμὸν τῶν ἡμετερῶν ψυχῶν, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, δι' οὗ καὶ μεθ' οὗ σοι ἡ δόξα καὶ τὸ κράτος.

Καὶ ὅταν λέγει ὁ λαός. Καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου, *ποιεῖ σταυρόν.* Καὶ σταυρωθέντα ὑπὲρ ἡμῶν. *Καὶ πάλιν σφραγίζει.* Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον.

Ὁμοίως καὶ μετὰ τὴν πίστιν, σφραγίζει ὁ ἱερεὺς τὸν λαὸν, ἐκφωνῶν.

Ὁ ΚΥΡΙΟΣ μετὰ πάντων.

Ὁ λαός.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς.

Ἄνω ἡμῶν τὰς καρδίας.

Ὁ λαός.

Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεύς.

Εὐχαριστῶμεν τῷ Κυρίῳ.

Ὁ λαός.

Ἄξιον καὶ δίκαιον.

Ὁ ἱερεὺς ἄρχεται τῆς ἀναφορᾶς.

Ἀληθῶς γὰρ ἄξιόν ἐστι καὶ δίκαιον, ὅσιόν τε καὶ πρέπον, καὶ ταῖς ἡμετέραις ψυχαῖς ἐπωφελὲς, ὁ ὢν, Δέσποτα Κύριε Θεὲ, Πάτερ παντοκράτορ, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σοὶ εὐχαριστεῖν, σοὶ ἀνθομολογεῖσθαι νύκτωρ

τε καὶ καθ' ἡμέραν ἀκαταπαύστῳ στόματι καὶ ἀσιγήτοις χείλεσι καὶ ἀσιωπήτῳ καρδίᾳ· σοὶ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὰ ἐν τῷ οὐρανῷ, γῆν καὶ τὰ ἐν τῇ γῇ, θάλασσαν, πηγὰς, ποταμοὺς, λίμνας, καὶ πάντα τὰ ἐν αὐτοῖς· σοὶ τῷ ποιήσαντι τὸν ἄνθρωπον κατ' ἰδίαν εἰκόνα καὶ καθ' ὁμοίωσιν, ᾧ καὶ ἐχαρίσω τὴν ἐν παραδείσῳ τρυφήν· παραβάντα δὲ αὐτὸν οὐχ ὑπερίδες, οὐδὲ ἐγκατέλιπες, ἀγαθὲ, ἀλλὰ πάλιν ἀνεκαλέσω διὰ νόμου, ἐπαιδαγώγησας διὰ προφητῶν, ἀνέπλασας καὶ ἀνεκαίνισας διὰ τοῦ φρικτοῦ καὶ ζωοποιοῦ καὶ οὐρανίου μυστηρίου τούτου· πάντα δὲ ἐποίησας διὰ τῆς σῆς σοφίας, τοῦ φωτὸς τοῦ ἀληθινοῦ, τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ σοι σὺν αὐτῷ καὶ ἁγίῳ Πνεύματι εὐχαριστοῦντες, προσφέρομεν τὴν λογικὴν καὶ ἀναίμακτον λατρείαν ταύτην, ἣν προσφέρει σοι, Κύριε, πάντα τὰ ἔθνη, ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν, ἀπὸ ἄρκτου καὶ μεσημβρίας· ὅτι μέγα τὸ ὄνομά σου ἐν πᾶσι τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματι ἁγίῳ σου καὶ θυσία καὶ προσφορά.

Καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθέ·

Μνήσθητι, Κύριε, τῆς ἁγίας καὶ μόνης καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπὸ γῆς περάτων μέχρι τῶν περάτων αὐτῆς, πάντων τῶν λαῶν καὶ πάντων τῶν ποιμνίων σου.

Τὴν ἐξ οὐρανοῦ εἰρήνην βράβευσον ταῖς ἁπάντων ἡμῶν καρδίαις· ἀλλὰ καὶ τὴν βίου τούτου τὴν εἰρήνην ἡμῖν δώρησαι.

Τὸν βασιλέα, τὰ στρατιωτικὰ, τοὺς ἄρχοντας, βουλὰς, δήμους, γειτονίας, εἰσόδους καὶ ἐξόδους ἡμῶν, ἐν πάσῃ εἰρήνῃ κατακόσμησον.

Βασιλεῦ τῆς εἰρήνης, τὴν σὴν εἰρήνην δὸς ἡμῖν ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ· κτῆσαι ἡμᾶς, ὁ Θεός· ἐκτός σου

ἄλλον οὐκ οἴδαμεν· τὸ ὄνομά σου ὀνομάζομεν· ζωοποίησον τὰς ἁπάντων ἡμῶν ψυχὰς, καὶ μὴ κατισχύσει θάνατος ἁμαρτίας καθ' ἡμῶν, μηδὲ κατὰ παντὸς τοῦ λαοῦ σου.

Τοὺς νοσοῦντας, Κύριε, τοῦ λαοῦ σου ἐπισκεψάμενος ἐν ἐλέει καὶ οἰκτιρμοῖς ἴασαι.

Ἀπόστησον ἀπ' αὐτῶν καὶ ἀφ' ἡμῶν πᾶσαν νόσον καὶ μαλακίαν· τὸ πνεῦμα τῆς ἀσθενείας ἐξάλευσον ἀπ' αὐτῶν. Τοὺς ἐν μακροῖς ἀῤῥωστήμασι προκατακειμένους ἐξανάστησον. Τοὺς ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένους ἴασαι. Τοὺς ἐν φυλακαῖς, ἢ ἐν μετάλλοις, ἢ δίκαις, ἢ καταδίκαις, ἢ ἐν ἐξορίαις, ἢ πικρᾷ δουλείᾳ, ἢ φόροις κατεχομένους πάντας ἐλέησον, πάντας ἐλευθέρωσον· ὅτι σὺ ὁ Θεὸς ἡμῶν, ὁ λύων πεπεδημένους, ὁ ἀνορθῶν τοὺς κατεῤῥαγμένους, ἡ ἐλπὶς τῶν ἀπελπισμένων, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἀνάστασις τῶν πεπτωκότων, ὁ λιμὴν τῶν χειμαζομένων, ὁ ἔκδικος τῶν καταπονουμένων· πάσῃ ψυχῇ Χριστιανῇ θλιβομένῃ καὶ περιερχομένῃ δὸς ἔλεος, δὸς ἄνεσιν, δὸς ἀνάψυξιν. Ἀλλὰ καὶ ἡμῶν, Κύριε, τὰς κατὰ ψυχὴν νόσους ἴασαι, τὰς σωματικὰς ἀσθενείας θεράπευσον, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ἐπίσκοπε πάσης σαρκὸς, ἐπίσκεψαι καὶ ἴασαι ἡμᾶς διὰ τοῦ σωτηρίου σου. Τοὺς ἀποδημήσαντας ἡμῶν ἀδελφοὺς, ἢ μέλλοντας ἀποδημεῖν, ἐν παντὶ τόπῳ κατευόδωσον, εἴτε διὰ γῆς, ἢ ποταμῶν, ἢ λιμνῶν, ἢ ὁδοιποριῶν, ἢ οἱῳδήποτε τρόπῳ τὴν πορείαν ποιοῦντας, πάντας πανταχοῦ ἀποκατάστησον εἰς λιμένα εὔδιον, εἰς λιμένα σωτήριον· σύμπλους καὶ συνοδοίπορος αὐτῶν γενέσθαι καταξίωσον· ἀπόδος τοῖς οἰκείοις αὐτῶν† χαίροντας χαίρουσιν, ὑγιαίνοντας ὑγιαίνουσιν· ἀλλὰ καὶ ἡμῶν, Κύριε, τὴν παρεπιδημίαν τὴν ἐν τῷ βίῳ τούτῳ ἀβλαβῆ καὶ ἀχείμαστον μέχρι τέλους διαφύλαξον. Τοὺς ὑετοὺς ἀγαθοὺς πλουσίως κατάπεμψον ἐπὶ τοὺς χρήζοντας καὶ ἐπὶ τοὺς δεομένους τόπους· εὔφρανον

καὶ ἀνακαίνισον τῇ καταβάσει αὐτῶν τὸ πρόσωπον τῆς γῆς, ἵνα ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθῇ ἀνατέλλουσα. Ποτάμια ὕδατα ἀνάγαγε ἐπὶ τὸ ἴδιον μέτρον αὐτῶν, εὔφρανον καὶ ἀνακαίνισον τῇ ἀναβάσει αὐτῶν τὸ πρόσωπον τῆς γῆς. Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς. Τοὺς καρποὺς τῆς γῆς, Κύριε, εὐλόγησον, σώους καὶ ἀκεραίους ἡμῖν διατήρησον· παράστησον ἡμῖν αὐτοὺς εἰς σπέρμα καὶ εἰς θερισμόν. Εὐλόγησον καὶ νῦν, Κύριε, τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, διὰ τοὺς πτωχοὺς τοῦ λαοῦ σου, διὰ τὴν χήραν καὶ διὰ τὸν ὄρφανον, διὰ τὸν προσήλυτον, δι' ἡμᾶς πάντας τοὺς ἐλπίζοντας ἐπί σε καὶ ἐπικαλουμένους τὸ ὄνομά σου τὸ ἅγιον. Οἱ γὰρ ὀφθαλμοὶ πάντων εἴς σε ἐλπίζουσιν, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Βασιλεῦ τῶν βασιλευόντων, καὶ Κύριε τῶν κυριευόντων, τὴν βασιλείαν τοῦ δούλου σου τοῦ ὀρθοδόξου καὶ φιλοχρίστου ἡμῶν βασιλέως, ὃν ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς ἐν εἰρήνῃ καὶ ἀνδρίᾳ καὶ δικαιοσύνῃ [διαφύλαξον. Ὑπόταξον ὑπὸ τοὺς πόδας αὐτοῦ], ὁ Θεὸς, πάντα ἐχθρὸν καὶ πολέμιον ἐμφύλιόν τε καὶ ἀλλόφυλον· ἐπιλαβοῦ ὅπλου καὶ† θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν αὐτοῦ· καὶ ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων αὐτόν· ἐπισκίασον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐν ἡμέρᾳ πολέμου· κάθισον ἐκ τῆς ὀσφύος αὐτοῦ ἀγαθὰ ὑπὲρ τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ παντὸς τοῦ φιλοχρίστου λαοῦ, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαληνότητι αὐτοῦ ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Τῶν ἐν πίστει Χριστοῦ προκεκοιμημένων πατέρων τε καὶ ἀδελφῶν τὰς ψυχὰς

ἀνάπαυσον, Κύριε ὁ Θεὸς ἡμῶν, μνησθεὶς τῶν ἀπ' αἰῶνος προπατέρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, ὁσίων, δικαίων, παντὸς πνεύματος ἐν πίστει Χριστοῦ τετελειωμένων· καὶ ὧν ἐν τῇ σήμερον ἡμέρᾳ τὴν ὑπόμνησιν ποιούμεθα, καὶ τοῦ ἁγίου πατρὸς ἡμῶν Μάρκου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ, τοῦ ὑποδείξαντος ἡμῖν ὁδὸν σωτηρίας.

Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετά σου· εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι ἔτεκες Σωτῆρα τῶν ψυχῶν ἡμῶν· [Ἐκφώνως] *Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

Ὁ διάκονος. *Κύριε εὐλόγησον.*

Ὁ ἱερεύς. *Ὁ Κύριος εὐλογήσαι σε τῇ αὐτοῦ χάριτι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ διάκονος τὰ δίπτυχα τῶν κεκοιμημένων.

Ὁ δὲ ἱερεὺς κλινόμενος ἐπεύχεται.

Καὶ τούτων πάντων τὰς ψυχὰς ἀνάπαυσον, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἐν ταῖς τῶν ἁγίων σου σκηναῖς, ἐν τῇ βασιλείᾳ σου, χαριζόμενος αὐτοῖς τὰ τῶν ἐπαγγελιῶν σου ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπων οὐκ ἀνέβη, ἃ ἡτοίμασας, ὁ Θεὸς, τοῖς ἀγαπῶσι τὸ ὄνομά σου τὸ ἅγιον. Αὐτῶν μὲν τὰς ψυχὰς ἀνάπαυσον, καὶ βασιλειας οὐρανῶν καταξίωσον· ἡμῖν δὲ τὰ τέλη τῆς ζωῆς Χριστιανὰ καὶ εὐάρεστα καὶ ἀναμάρτητα δώρησαι· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον ἔχειν μετὰ πάντων τῶν ἁγίων σου. Τῶν προσφερόντων τὰς θυσίας καὶ τὰς προσφορὰς, τὰ εὐχαριστήρια πρόσδεξαι ὁ Θεὸς εἰς τὸ ἅγιον καὶ ἐπουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς τὰ μεγέθη τῶν οὐρανῶν, διὰ τῆς ἀρχαγγελικῆς σου λειτουργίας, τῶν

τὸ πολὺ καὶ ὀλίγον, κρύφα καὶ παῤῥησίᾳ, βουλομένων καὶ οὐκ ἐχόντων· καὶ τῶν ἐν τῇ σήμερον ἡμέρᾳ τὰς προσφορὰς προσενεγκάντων, ὡς προσεδέξω τὰ δῶρα τοῦ δικαίου σου Ἄβελ, [καὶ βάλλει θυμίαμα ὁ ἱερεὺς καὶ λέγει], τὴν θυσίαν τοῦ πατρὸς ημῶν Ἀβραὰμ, Ζαχαρίου τὸ θυμίαμα, Κορνηλίου τὰς ἐλεημοσύνας, καὶ τῆς χήρας τὰ δύο λεπτὰ, πρόσδεξα καὶ αὐτῶν τὰ εὐχαριστήρια, καὶ ἀντιδὸς αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ οὐράνια, ἀντὶ τῶν προσκαίρων τὰ αώνια. Τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν Δ΄. ὃν προέγνως καὶ * * * προχειρίσασθαι τὴν ἁγίαν σου καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, καὶ τὸν ὁσιώτατον ἐπίσκοπον Δ΄. τὸν ἡμέτερον, συντηρῶν συντήρησον αὐτοὺς ἔτεσι πολλοῖς, χρόνοις εἰρηνικοῖς, ἐκτελοῦντας αὐτοὺς τὴν ὑπὸ σοῦ ἐμπεπιστευμένην ἁγίαν σοι ἀρχιερωσύνην, κατὰ τὸ ἅγιον καὶ μακάριόν σου θέλημα ὀρθοτομοῦντας τὸν λόγον τῆς ἀληθείας. Μνήσθητι δὲ καὶ τῶν ἁπανταχοῦ ὀρθοδόξων ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ψαλτὸν, μοναζόντων, ἀειπαρθένων, χηρῶν, λαϊκῶν. Μνήσθητι, Κύριε, τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, καὶ τῆς βασιλευούσης, καὶ τῆς πόλεως ἡμῶν ταύτης, πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν ὀρθοδόξῳ πίστει Χριστοῦ οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν. Μνήσθητι, Κύριε, πάσης ψυχῆς Χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους Θεοῦ καὶ βοηθείας ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων. Μνήσθητι, Κύριε, τῶν ἐν αἰχμαλωσίᾳ τῶν ἀδελφῶν ἡμῶν· δὸς αὐτοῖς ἐν ἐλέει καὶ οἰκτιρμοῖς εἶναι ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. Μνήσθητι, Κύριε, καὶ ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου, καὶ τὰς ἁμαρτίας ἡμῶν ἐξάλειψον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός. Μνήσθητι, Κύριε, καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου, καὶ τὰς ἁμαρ-

τίας μου ἐξάλειψον, ὡς φιλάνθρωπος Θεός. Συμπάρεσο δὲ ἡμῖν λειτουργοῦσι τῷ παναγίῳ σου ὀνόματι. Τὰς ἐπισυναγωγὰς ἡμῶν, Κύριε, εὐλόγησον. Τὴν εἰδωλολατρείαν τέλεον ἐκρίζωσον ἀπὸ τοῦ κόσμου. Τὸν Σατανᾶν καὶ πᾶσαν αὐτοῦ τὴν ἐνέργειαν καὶ πονηρίαν σύντριψον ὑπὸ τοὺς πόδας ἡμῶν. Τοὺς ἐχθροὺς τῆς ἐκκλησίας σου, Κύριε, ὡς πάντοτε, καὶ νῦν ταπείνωσον. Γύμνωσον αὐτῶν τὴν ὑπερηφανίαν· δεῖξον αὐτοῖς ἐν τάχει τὴν ἀσθένειαν αὐτῶν· τὰς ἐπιβουλὰς αὐτῶν καὶ τὰς πανουργίας ἃς ποιοῦσι καθ' ἡμῶν ἀπράκτους ποίησον. Ἐξεγέρθητι, Κύριε, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου, καὶ φυγέτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες τὸ ὄνομά σου τὸν ἅγιον. Τὸν δὲ λαόν σου τὸν πιστὸν καὶ ὀρθόδοξον [εὐλόγησον], ἐπ' εὐλογίας χιλίας χιλιάδας καὶ μυρίας μυριάδας, ποιοῦντας τὸ θέλημά σου τὸ ἅγιον.

Ὁ διάκονος. *Οἱ καθήμενοι ἀνάστητε.*

Ὁ ἱερεὺς λέγει εὐχήν.

*Λύτρωσαι δεσμίους, ἐξέλου τοὺς ἐν ἀνάγκαις, πεινῶντας χόρτασον, ὀλιγοψυχοῦντας παρακάλεσον, πεπλανημένους ἐπίστρεψον, ἐσκοτισμένους φωταγώγησον, πεπτωκότας ἔγειρον, σαλευομένους στήριξον, νενοσηκότας ἴασαι· πάντας, ἀγαθὲ, εἰς τὴν ὁδὸν τῆς σωτηρίας σύναψον, καὶ αὐτοὺς * * * τῇ ἁγίᾳ σου ποίμνῃ· ἡμᾶς δὲ ῥῦσαι ἀπὸ τῶν ἀνομιῶν ἡμῶν, φρουρὸς ἡμῶν καὶ ἀντιλήπτωρ κατὰ πάντα γενόμενος.*

Ὁ διάκονος. Εἰς ἀνατολήν.

Καὶ κλίνει ὁ ἱερεὺς καὶ εὔχεται.

Σὺ γὰρ εἶ ὁ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.

Σοὶ παραστήκουσι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαί. Σοὶ παραστήκουσι τὰ δύο τιμιώτατά σου ζῶα, τὰ πολυόμματα χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ, ἃ δυσὶ μὲν πτέρυξι τὰ πρόσωπα καλύπτοντα καὶ δυσὶ τοὺς πόδας, καὶ δυσὶν ἱπτάμενα, κέκραγεν ἕτερον πρὸς τὸ ἕτερον ἀκαταπαύστοις στόμασι καὶ ἀσιγήτοις θεολογίαις, τὸν ἐπινίκιον καὶ τρισάγιον ὕμνον ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα, καὶ λέγοντα τῇ μεγαλοπρεπεῖ σου δόξῃ·

Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς ἁγίας σου δόξης. [Ἐκφώνως.] Πάντοτε μὲν πάντας ἁγιάζῃ, ἀλλὰ καὶ μετὰ πάντων τῶν σε ἁγιαζόντων, δέξαι, Δέσποτα Κύριε, καὶ τὸν ἡμέτερον ἁγιασμὸν, σὺν αὐτοῖς ὑμνούντων καὶ λεγόντων·

Ὁ λαός.

Ἅγιος, ἅγιος, ἅγιος Κυρίους.

Ὁ ἱερεὺς σφραγίζει τὰ ἅγια, λέγων.

Πλήρης γάρ ἐστιν ὡς ἀληθῶς ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς ἁγίας σου δόξης διὰ τῆς ἐπιφανείας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· πλήρωσον, ὁ Θεὸς, καὶ ταύτην τὴν θυσίαν τῆς παρὰ σοῦ εὐλογίας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ παναγίου σου Πνεύματος. Ὅτι αὐτὸς ὁ Κύριος καὶ ὁ Θεὸς καὶ παμβασιλεὺς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ τὸν ὑπὲρ πάντων ὑψίστατον * * θάνατον σαρκὶ, συνανακλιθεὶς μετὰ τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ ἀποστόλων, λαβὼν ἄρτον μετὰ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀμώμων αὐτοῦ χειρῶν, ἀναβλέψας εἰς τὸν ἴδιον Πατέρα, Θεὸν δὲ ἡμῶν καὶ Θεὸν τῶν ὅλων, εὐχαριστήσας, εὐλο-

γήσας, ἁγιάσας, κλάσας, διέδωκε τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών,

Ἐκφώνως.

Λάβετε, φάγετε.

Ὁ διάκονος. Ἐκτείνατε.

Ὁ ἱερεὺς ἐκφώνως.

Τοῦτο γάρ ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλωμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς λέγει ἐπευχόμενος.

Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λαβὼν, καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος, ἀναβλέψας εἰς τὸν οὐρανὸν πρὸς σε τὸν ἴδιον Πατέρα, Θεὸν δὲ ἡμῶν καὶ Θεὸν τῶν ὅλων, εὐχαριστήσας, εὐλογήσας, πλήσας Πνεύματος ἁγίου, μετέδωκε τοῖς ἁγίοις καὶ μακαρίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπὼν,

Ἐκφώνως.

Πίετε ἐξ αὐτοῦ πάντες.

Ὁ διάκονος. Ἔτι ἐκτείνατε.

Ὁ ἱερεὺς ἐκφώνως.

Τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ἡμῶν καὶ πολλῶν ἐκχεόμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς εὔχεται οὕτως.

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, πίνητε δὲ καὶ ποτήριον τοῦτο, τὸν ἐμὸν θάνατον καταγγέλλετε, καὶ τὴν ἐμὴν ἀνάστασιν καὶ ἀνάληψιν ὁμολογεῖτε, ἄχρις οὗ ἂν ἔλθω.

Τὸν θάνατον, Δέσποτα Κύριε παντοκράτορ, ἐπουράνιε βασιλεῦ, τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καταγγέλλοντες, καὶ τὴν τριήμερον καὶ μακαρίαν αὐτοῦ ἐκ νεκρῶν ἀνάστασιν ὁμολογοῦντες, καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν ὁμολογοῦμεν, καὶ τὴν ἐκ δεξιῶν σου τοῦ Θεοῦ καὶ Πατρὸς καθέδραν, καὶ τὴν δευτέραν καὶ φρικτὴν καὶ φοβερὰν αὐτοῦ παρουσίαν ἀπεκδεχόμενοι, ἐν ᾗ μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκροὺς ἐν δικαιοσύνῃ, καὶ ἀποδοῦναι [ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ],[N] σοὶ, Κύριε ὁ Θεὸς ἡμῶν, τὰ σὰ ἐκ τῶν σῶν δώρων προεθήκαμεν ἐνώπιόν σου.

Καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε ἀγαθὲ, ἐξαπόστειλον ἐξ ὕψους τοῦ ἁγίου σου, ἐξ ἑτοίμου κατοικητηρίου σου, ἐκ τῶν ἀπεριγράπτων κόλπων, αὐτὸν τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ ἅγιον, τὸν κύριον, τὸ ζωοποιὸν, τὸ ἐν νόμῳ καὶ προφήταις καὶ ἀποστόλοις λαλῆσαν, τὸ πανταχοῦ παρὸν καὶ τὰ πάντα πληροῦν, ἐνεργοῦν τε αὐτεξουσίως, οὐ διακονικῶς, ἐφ' οὓς βούλεται, τὸν ἁγιασμὸν εὐδοκίᾳ τῇ σῇ, τὸ ἁπλοῦν τὴν φύσιν, τὸ πλημερὲς τὴν ἐνέργειαν, τὴν τῶν θείων χαρισμάτων πηγήν· τό σοι ὁμοούσιον· τὸ ἐκ σοῦ ἐκπορευόμενον· τὸ σύνθρονον τῆς βασιλείας σου, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἔτι δὲ ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς ἄρτους τούτους καὶ ἐπὶ τὰ ποτήρια ταῦτα τὸ Πνεῦμά σου τὸ ἅγιον [κατάπεμψον], ἵνα αὐτὰ ἁγιάσῃ καὶ τελειώσῃ, ὡς παντοδύναμος Θεός, [Ἐκφώνως] καὶ ποιήσῃ τὸν μὲν ἄρτον σῶμα.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς ἐκφώνως.

Τὸ δὲ ποτήριον, αἷμα τῆς καινῆς διαθήκης, αὐτοῦ τοῦ

Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος, καὶ παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ διάκονος. Κατέλθετε οἱ διάκονοι.

Ὁ ἱερεὺς ἐκφώνως.

Ἵνα γένωνται πᾶσιν ἡμῖν τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν, εἰς πίστιν, εἰς νῆψιν, εἰς ἴασιν, εἰς σωφροσύνην, εἰς ἁγιασμὸν, εἰς ἐπανανέωσιν ψυχῆς, σώματος, καὶ πνεύματος, εἰς κοινωνίαν μακαριότητος ζωῆς αἰωνίου καὶ ἀφθαρσίας, εἰς δοξολογίαν τοῦ παναγίου σου ὀνόματος, εἰς ἄφεσιν ἁμαρτιῶν· ἵνα σου καὶ ἐν τούτῳ, καθὼς καὶ ἐν παντὶ, δοξασθῇ καὶ ὑμνηθῇ καὶ ἁγιασθῇ τὸ πανάγιον καὶ ἔντιμον καὶ δεδοξασμένον σου ὄνομα σὺν Ἰησοῦ Χριστῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ λαός. Ὥσπερ ἦν καὶ ἐστίν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Προσεύξασθε.

Ὁ ἱερεὺς εὔχεται καθ' ἑαυτόν.

Θεὲ φωτὸς, γεννῆτορ ζωῆς, ἀρχηγὲ χάριτος, ποιητὰ αἰώνων, θεμελιωτὰ γνώσεως, δωρητὰ σοφίας, θησαυρὲ ἁγιωσύνης, διδάσκαλε εὐχῶν καθαρῶν, ψυχῆς εὐεργέτα, ὁ τοῖς ὀλιγοψύχοις εἰς σὲ πεποιθῶσι διδοὺς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι· ὁ ἀναγαγὼν ἡμᾶς ἐξ ἀβύσσου εἰς φῶς, ὁ δοὺς ἡμῖν ἐκ θανάτου ζωὴν, ὁ χαρισάμενος ἡμῖν ἐκ δουλείας ἐλευθερίαν, ὁ τὸ ἐν ἡμῖν σκότος τῆς ἁμαρτίας διὰ τῆς παρουσίας τοῦ μονογενοῦς σου Υἱοῦ λύσας, αὐτὸς καὶ νῦν, Δέσποτα Κύριε, διὰ τῆς ἐπιφοτήσεως τοῦ παναγίου σου Πνεύματος, καταύγασον τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν, εἰς τὸ μεταλαβεῖν ἀκατακρίτως τῆς ἀθανάτου καὶ ἐπουρανίου ταύτης τροφῆς· καὶ ἁγίασον ἡμᾶς ὁλοτελῶς ψυχῇ, σώματι, καὶ πνεύματι, ἵνα μετὰ τῶν ἁγίων σου μαθητῶν καὶ ἀποστόλων εἴπωμεν σοὶ τὴν προσευχὴν ταύτην, τὸ

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἑξῆς.

Ἐκφώνως.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα φιλάνθρωπε Κύριε, μετὰ παῤῥησίας, ἀκατακρίτως, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ πεφωτισμένῃ, ἐν ἀπαισχύντῳ προσώπῳ, ἡγιασμένοις χείλεσι, τολμᾷν ἐπικαλεῖσθαί σε τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον Θεὸν Πατέρα, καὶ λέγειν·

Ὁ λαός.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, κ.τ.λ.

Ὁ ἱερεὺς εὔχεται.

Ναὶ Κύριε, Κύριε, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Οἶδεν γὰρ ἡ πολλή σου εὐσπλαγχνία, ὅτι οὐ δυνάμεθα ὑπενέγκειν διὰ τὴν πολλὴν ἡμῶν ἀσθένειαν· ἀλλὰ ποίησον σὺν τῷ πειρασμῷ καὶ ἔκβασιν, τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. Σὺ γὰρ ἔδωκας ἡμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. [Ἐκφώνως.] Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις.

Ὁ λαός. Ἀμήν.
Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος.

Τὰς κεφαλὰς ὑμῖν τῷ Ἰησοῦ κλίνατε.
Ὁ λαός. Σοὶ, Κύριε.

Ὁ ἱερεὺς ἐπεύχεται.

Δέσποτα Κύριε ὁ Θεὸς, ὁ παντοκράτωρ, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφίμ· ὁ ἐξ ὑδάτων οὐρανὸν σκευάσας, καὶ τοῖς τῶν ἀστέρων χοροῖς κατακοσμήσας· ὁ ἐν ὑψίστοις ἀσωμάτους ἀγγέλων συστησάμενος στρατιὰς πρὸς ἀεννάους δοξολογίας· σοὶ ἐκλίναμεν τὸν αὐχένα τῶν ψυχῶν καὶ τῶν

σωμάτων ἡμῶν, τὸ τῆς δουλείας πρόσχημα σημαίνοντες, καὶ δεόμεθά σου, τὰς σκοτοειδεῖς τῆς ἁμαρτίας ἐφόδους ἐκ τῆς ἡμῶν διανοίας ἀπέλασον, καὶ ταῖς τοῦ ἁγίου σου Πνεύματος θεοειδέσιν αὐγαῖς τὸν ἡμέτερον νοῦν καταφαίδρυνον, ὅπως τῇ γνώσει σου πληθυνόμενοι, ἀξίως μετάσχοιμεν τῶν προκειμένων ἡμῖν ἀγαθῶν, τοῦ ἀχράντου σώματος, καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, συγχωρῶν ἡμῖν πᾶν εἶδος ἁμαρτιῶν, διὰ τὴν πολλὴν καὶ ἀνεξιχνίαστόν σου ἀγαθότητα, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ. [Ἐκφώνως.] Δι᾿ οὗ καὶ μεθ᾿ οὗ σοι ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος.

Μετὰ φόβου Θεοῦ [πρόσχωμεν].

Ὁ ἱερεὺς εὔχεται.

Ἅγιε, ὕψιστε, φοβερὲ, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, Κύριε, ἁγίασον ἡμᾶς τῷ λόγῳ τῆς σῆς χάριτος, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος. Σὺ γὰρ εἶπας, Δέσποτα, Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμί. Κύριος ὁ Θεὸς ἡμῶν, ἀκατάληπτε Θεοῦ Λόγε, τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι ὁμοούσει, συναΐδιε, καὶ σύναρχε, πρόσδεξα τὸν ἀκήρατον ὕμνον, σὺν τοῖς χερουβὶμ καὶ σεραφὶμ, καὶ παρ᾿ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου, ἐξ ἀναξίων μου χειλέων βοῶντα καὶ λέγοντα,

Ὁ λαός. Κύριε ἐλέησον. Κύριε ἐλέησον. Κύριε ἐλέησον.

Ὁ ἱερεὺς ἐκφώνως.

ΤΑ ἉΓΙΑ ΤΟΙΣ ἉΓΙΟΙΣ.

Ὁ λαός.

Εἷς Πατὴρ ἅγιος, εἷς Υἱὸς ἅγιος, ἓν Πνεῦμα ἅγιον, εἰς ἑνότητα Πνεύματος ἁγίου. Ἀμήν.

Ὁ διάκονος.

Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως.

Ὁ ἱερεὺς σφραγίζων τὸν λαὸν ἐκφώνως.

Ὁ Κύριος μετὰ πάντων.

Καὶ κλάνει ὁ ἱερεὺς τὸν ἄρτον, καὶ λέγει.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς [ἁγίοις, *καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ*].

Καὶ μελίζει ὁ ἱερεὺς λέγων τοῖς παροῦσιν.

Ὁ Κύριος εὐλογήσει καὶ συνδιακονήσει, διὰ τῆς μεγάλης, κ.τ.λ.

Καὶ λέγει ὁ ἱερεύς.

Κελεύετε.

Ὁ κλῆρος.

Τὸ Πνεῦμα τὸ ἅγιον κελεύει καὶ ἁγιάζει.

Ὁ ἱερεύς.

Ἰδοὺ ἡγίασται καὶ τετελείωται.

Ὁ κλῆρος.

Εἷς Πατὴρ ἅγιος· *τρίς.*

Καὶ λέγει ὁ ἱερεύς.

Ὁ Κύριος μετὰ πάντων.

Ὁ κλῆρος.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεὺς λέγει.

Αὐτὸς εὐλόγησεν αὐτόν.

Καὶ μεταλαμβάνει ὁ ἱερεὺς,

Εὐχή.

Τῆς κατὰ φιλανθρωπίας.

Ἄλλως.

Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τῆς πηγῆς.

Καὶ ὅταν μεταδιδοῖ τῷ κλήρῳ, λέγει.

Σῶμα ἅγιον.

Καὶ εἰς τὸ ποτήριον λέγει.

Αἷμα τίμιον τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν.

Καὶ μετὰ τὸ πληρῶσαι, λέγει ὁ διάκονος.

Ἐπὶ προσευχὴν στάθητε.

Ὁ ἱερεύς.

Εἰρήνη πᾶσιν.

Ὁ διάκονος.

Προσεύξασθε.

Ὁ ἱερεὺς εὔχεται τὴν εὐχαριστίαν.

Εὐχαριστοῦμέν σοι, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων, καὶ ἐπουρανίων σου μυστηρίων, ὧν ἔδωκας ἡμῖν ἐπὶ εὐεργεσίᾳ καὶ ἁγιασμῷ καὶ σωτηρίᾳ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ Κύριε, χάρισαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν θεοσεβείας, εἰς ἀποτροπὴν ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἐφόδιον

ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου· [ἐκφώνως] *δι᾿ οὗ καὶ μεθ᾿ οὗ, σοὶ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι.*

Εἶτα ὁ ἱερεὺς στρέφεται πρὸς τὸν λαὸν, λέγων.

Ἄναξ μέγιστε, καὶ τῷ Πατρὶ σύναρχε, ὁ τῷ σῷ κράτει τὸν ᾅδην σκυλεύσας, καὶ τὸν θάνατον πατήσας, καὶ τὸν ἰσχυρὸν δεσμεύσας, καὶ τὸν Ἀδὰμ ἐκ τάφου ἀναστήσας τῇ θεουργικῇ σου δυνάμει καὶ φωτιστικῇ αἴγλῃ τῆς σῆς ἀῤῥήτου θεότητος, αὐτὸς, Δέσποτα, διὰ τῆς μεταλήψεως τοῦ ἀχράντου σου σώματος καὶ τοῦ τιμίου σου αἵματος ἐξαπόστειλον τὸν ἀόρατόν σου δεξιὰν, τὴν πλήρη εὐλογιῶν, καὶ πάντας ἡμᾶς εὐλόγησον, οἰκτείρησον, σθένωσον τῇ θεϊκῇ σου δυνάμει, καὶ περίελε ἀφ᾿ ἡμῶν τὴν κακοηθῆ καὶ ἁμαρτάδα σαρκικῆς ἐπιθυμίας ἐργασίαν· καταύγασον τοὺς νοητοὺς ἡμῶν ὀφθαλμοὺς τῆς περικειμένης ζοφερᾶς ἀνομίας, σύναψον ἡμᾶς τῷ παμμακαρίστῳ, τῷ εὐαρεστήσαντι σοι συλλόγῳ, ὅτι διὰ σοῦ καὶ σύν σοι τῷ Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι πᾶς ὕμνος πρέπει, τιμὴ, κράτος, προσκύνησις τε καὶ εὐχαριστία, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος. *Πορεύεσθε ἐν εἰρήνῃ.*

Ὁ λαός. *Ἐν ὀνόματι Κυρίου.*

Ὁ ἱερεὺς ἐκφώνως.

Ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, ἡ χάρις τοῦ Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ κοινωνία καὶ ἡ δωρεὰ τοῦ παναγίου Πνεύματος εἴη μετὰ πάντων ἡμῶν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. *Ἀμήν.*

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.

Ὁ ἱερεὺς ἐπεύχεται ἐν τῷ διακονικῷ λέγων.

Ἔδωκας ἡμῖν, Δέσποτα, τὸν ἁγιασμὸν ἐν τῇ μετουσίᾳ τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ· δὸς ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου Πνεύματος, καὶ φύλαξον ἡμᾶς ἀμώμους ἐν τῷ βίῳ, καὶ ὁδήγησον εἰς τὴν τελείαν ἀπολύτρωσιν καὶ υἱοθεσίαν, καὶ εἰς τὰς μελλούσας αἰωνίους ἀπολαύσεις. Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Καὶ ἀπολύει λέγων.

Εὐλογείτω ὁ Θεὸς ὁ εὐλογῶν καὶ ἁγιάζων καὶ σκέπων καὶ διατηρῶν πάντας ἡλᾶς διὰ τῆς μεθέξεως τῶν ἁγίων αὐτοῦ μυστηρίων, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

NOTES.

Page 11, line 3. This is the Little Entrance: the Great Entrance being that of the Elements, page 15.

Page 11, line 9. The three Liturgical hymns in the Eastern Church are, The *Ter Sanctus*, given here; the *Cherubic hymn*, at the bottom of page 14; and the *Angelic*, which Western writers frequently call the *Ter Sanctus*, page 24, line 11.

Page 12, line 5. The "Apostle:" that which we call the Epistle.

Page 13, line 9 from the bottom. The Stichos, a short varying versicle and response, answers virtually to that which is called the Alleluia in the Constantinopolitan rite; to the Gradual in the Roman, though that precedes the Gospel; to the *Lauda* in the Mozarabic. It is not agreed what is meant by the Rubric, *The Deacon says the three.* Some imagine it to signify three collects here to be recited; others, a hymn with that beginning: for example, "*The Three* Persons in one Godhead," &c.

Page 13, last line. The Pope—that is, of Alexandria: the technical title of the Bishop of that city, as well as of Rome. Eastern Canonists make *Patriarch* the proper appellation of the Bishop of Antioch, and *Archbishop* of him of Constantinople.

Page 15, line 9 from the bottom. The technical expression for the recital of the prayer, while the kiss of peace was being given by the men to the men, and the women to the women.

Page 17, line 15. Here begins the second great division of the Liturgy, the Anaphora.

Page 17, line 4 from the bottom. The insertion of the Great Intercession for Quick and Dead in this place is (see Preface) *the* peculiarity of this Liturgy.

Page 19, line 11. Notice the mention of the mines—that is, with reference to the Christians condemned to work in them—as a proof of the extreme antiquity of this prayer.

Page 21, line 5. These references to S. Mark, and to the Blesssd Virgin, are clearly later insertions.

Page 21, line 18. The *Diptychs of the departed:* that is, the record of the names of former Bishops and other distinguished personages connected with the See. The fierce disputes regarding the erasure from, or retention in, the Diptychs of a particular name, as a test of orthodoxy, especially between Rome and Constantinople, are well known to all students of Ecclesiastical history.

Page 26, line 10, The words within the brackets I have added from the cognate Liturgy of S. Cyril.

Page 28, line 10. This is the short prayer against temptation, which occurs in all Liturgies after the Lord's Prayer (the Clementine only excepted, where the Lord's Prayer itself is not found,) and which is called the *Embolismus.*

Page 28, line 7 from bottom. This is called the Prayer of Intense Adoration, and answers to the worship paid by the Western Church at the Elevation of the Host.

Page 30, line 2. The *Sancta sanctis*, a component part of all Eastern Liturgies, as well as of the Mozarabic and Gallican; and so frequently referred to by the Fathers. But for the extraordinary interpretation which a late able writer would affix to the expression, it would be needless to observe that the sense has always been understood, as it still is understood, by the Eastern Church, "Holy things for holy persons:" and never "The Holy things are lifted up to the holy places."

Page 33. This last prayer is a manifest addition, taken from some other Office, and having no business here.

THE LITURGY

OF

SAINT JAMES,

THE BROTHER OF THE LORD:

OR

ACCORDING TO THE USE OF THE

Church of Jerusalem.

EDITED BY THE

REV. J. M. NEALE, M.A.,

WARDEN OF SACKVILLE COLLEGE.

LONDON:

J. T. HAYES, LYALL PLACE, EATON SQUARE.

1858.

W. M. WATTS, CROWN COURT, TEMPLE BAR.

PREFACE.

THE Liturgy of S. JAMES may claim the first place for value among all the primitive Liturgies. The direct parent of those of S. Basil and S. Chrysostom, it is itself still said in some of the islands of the Archipelago on S. James's Day.

There are but two MSS., with the fragment of a third, from which the ancient text is derived. The first of these, belonging to the Basilian Library at Rome, was written at Antioch during the twelfth century: the second appears to have been transcribed in Mount Sinai during the tenth. The earliest edition was published at Rome in 1526, by Demetrius Ducas; then we have the Paris edition of 1560; then the reprints in the *Bibliotheca Patrum*, the *Codex Apocryphus Novi Testamenti*, and the *Codex Liturgicus* of Assemann. Bishop Rattray published, in 1742, "The Ancient Liturgy of the Church at Jerusalem;" or S. James's, restored, as he conceived, to its original purity by the omission of later insertions: a valuable work, from the collation of parallel passages in the other primitive Liturgies, though the supposed restoration is unsatisfactory enough. Then follow Mr. Trollope's "Greek Liturgy of S. James, with an English Introduction and Notes" (Edinburgh, 1848); my own

edition in the *Tetralogia Liturgica;* and finally, Dr. Daniel's, in his *Codex Liturgicus,* who has done me the honour of quoting largely from my notes.

The present edition is not an exact reprint of any of the above-mentioned, as further consideration has induced me to prefer one or two readings which I had rejected in the Tetralogia.

The Liturgy of S. Clement, with God's help, will be the next to follow.

Sackville College, *June 9th*, 1858.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΑΔΕΛΦΟΘΕΟΥ ΙΑΚΩΒΟΥ.

Ὁ ἱερεύς.

ἘΝ πλήθει ἁμαρτιῶν μεμολυσμένον με μὴ ἐξουδενώσῃς, δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν· ἰδοὺ γὰρ προσῆλθον τῷ θείῳ τούτῳ καὶ ἐπουρανίῳ μυστηρίῳ σου, οὐχ ὡς ἄξιος ὑπάρχων· ἀλλ' εἰς τὴν σὴν ἀφορῶν ἀγαθότητα, ἀφίημί σοι τὴν φωνὴν, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος ἀντοφθαλμῆσαι τῇ ἱερᾷ σου ταύτῃ καὶ πνευματικῇ τραπέζῃ, ἐφ' ᾗ ὁ μονογενής σου Υἱὸς καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐμοὶ τῷ ἁμαρτωλῷ, καὶ πάσῃ κηλῖδι κατεστιγμένῳ, μυστικῶς πρόκειται εἰς θυσίαν. Διὸ ταύτην σοι τὴν ἱκεσίαν καὶ εὐχαριστίαν προσάγω, τοῦ καταπεμφθῆναί μοι τὸ Πνεῦμά σου τὸ Παράκλητον ἐνισχῦον καὶ καταρτίζον με πρὸς τὴν λειτουργίαν ταύτην, καὶ τὴν παρὰ σοῦ μοι τῷ λαῷ ἐπαγγελθεῖσαν φωνὴν, ἀκατακρίτως ταύτην ἀποφθέγξασθαι καταξίωσον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ καὶ ὁμοουσίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ τῆς παραστάσεως.

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, τῷ τριαδικῷ καὶ ἑνιαίῳ φωτὶ τῆς θεότητος, τῆς ἐν τριάδι μοναδικῶς ὑπαρχούσης, καὶ διαιρουμένης ἀδιαιρέτως· τριὰς γὰρ εἷς Θεὸς παντοκράτωρ, οὗ τὴν δόξαν οἱ οὐρανοὶ διηγοῦνται, ἡ δὲ γῆ τὴν αὐτοῦ δεσποτείαν, καὶ ἡ

θάλασσα τὸ αὐτοῦ κράτος, καὶ πᾶσα αἰσθητὴ καὶ νοητὴ κτίσις τὴν αὐτοῦ μεγαλειότητα κηρύττει πάντοτε· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, κράτος, μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ τοῦ θυμιάματος τῆς εἰσόδου τῆς ἐνάρξεως.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ, ὦ Θεοῦ Λόγε, ὁ ἑκουσίως ἑαυτὸν θυσίαν ἄμωμον ἐπὶ σταυροῦ τῷ Θεῷ καὶ Πατρὶ προσαγαγὼν, ὁ διφυὴς ἄνθραξ, ὁ τῇ λαβίδι τῶν τοῦ προφήτου χειλέων ἁψάμενος, καὶ τὰς ἁμαρτίας αὐτοῦ ἀφελόμενος, ἅψαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τῶν αἰσθήσεων, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ παράστησον ἡμᾶς ἁγνοὺς τῷ ἁγίῳ σου θυσιαστηρίῳ τοῦ προσενέγκαι σοι θυσίαν αἰνέσεως· καὶ πρόσδεξαι ἀφ᾽ ἡμῶν τῶν ἀχρείων δούλων σου τὸ παρὸν θυμίαμα, εἰς ὀσμὴν εὐωδίας· καὶ εὐωδίασον ἡμῶν τὸ δυσῶδες τῆς ψυχῆς καὶ τοῦ σώματος· καὶ ἁγίασον ἡμᾶς τῇ ἁγιαστικῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος· σὺ γὰρ εἶ μόνος ἅγιος, ὁ ἁγιάζων καὶ τοῖς πιστοῖς μεταδιδόμενος· καὶ πρέπει σοι ἡ δόξα σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεῦματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ τῆς ἐνάρξεως.

Εὐεργέτα βασιλεῦ τῶν αἰώνων, καὶ τῆς κτίσεως ἁπάσης δημιουργὲ, πρόσδεξαι προσιοῦσάν σοι διὰ τοῦ Χριστοῦ σου τὴν ἐκκλησίαν σου· ἑκάστῳ τὸ συμφέρον ἐκπλήρωσον· ἄγαγε πάντας εἰς τελειότητα, καὶ ἀξίους ἡμᾶς ἀπέργασαι τῆς χάριτος τοῦ ἁγιασμοῦ σου, ἐπισυνάγων ἡμᾶς ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ εὐλογητὸς

εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὁ διάκονος.

Ἔτι τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς, εὐχὴν τοῦ θυμιάματος τῆς εἰσόδου τῆς συνάξεως.

Ὁ Θεὸς ὁ προσδεξάμενος Ἀβὲλ τὰ δῶρα, Νῶε καὶ Ἀβραὰμ τὴν θυσίαν, Ἀαρὼν καὶ Ζαχαρίου τὸ θυμίαμα, πρόσδεξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο εἰς ὀσμὴν εὐωδίας καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, καὶ παντὸς τοῦ λαοῦ σου, ὅτι εὐλογημένος ὑπάρχεις, καὶ πρέπει σοι ἡ δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

Ὁ διάκονος.

Κύριε εὐλόγησον.

Ὁ ἱερεὺς ἐπεύχεται.

Ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ δι' ὑπερβολὴν ἀγαθότητος καὶ ἀκατάσχετον ἔρωτα σταυρωθεὶς, καὶ λόγχῃ καὶ ἥλοις παρῆναι μὴ ἀπανηνάμενος· ὁ τὴν κρυφίαν καὶ ἐπίφοβον ταύτην τελετὴν, εἰς ἀνάμνησιν αἰωνίαν ἡμῖν ἐκτενῆ παρασχόμενος· εὐλογῆσαι τὴν ἐν Χριστῷ τῷ Θεῷ διακονίαν σου, καὶ εὐλογῆσαι τὴν εἴσοδον ἡμῶν, καὶ ἐντελῶς τελειῶσαι τὴν παράστασιν τῆς λειτουργίας ἡμῶν ταύτης, τῇ ἀφάτῳ αὐτοῦ εὐσπλαγχνίᾳ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἀποκριτικὴ παρὰ τοῦ διακόνου.

Ὁ Κύριος εὐλογῆσαι καὶ ἀξιῶσαι ἡμᾶς σεραφικῶς δωροφορῆσαι, καὶ προσᾷσαι τὴν πολυύμνητον ᾠδὴν τοῦ ἐνθεαστικοῦ καὶ τρισαγίου, τῷ ἀνενδεεῖ καὶ ὑπερπλήρει πάσης τῆς ἁγιαστικῆς τελειότητος, νῦν καὶ ἀεί.

Εἶτα ἄρχεται ἀειδεῖν ὁ διάκονος ἐν τῇ εἰσόδῳ.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀθάνατος ὑπάρχων, καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεὸς, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ὁ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην ἀπὸ τῶν πυλῶν ἕως τοῦ θυσιαστηρίου.

Ὁ Θεὸς ὁ παντοκράτωρ ὁ μεγαλώνυμος Κύριος, ὁ δοὺς ἡμῖν εἴσοδον εἰς τὰ ἅγια τῶν ἁγίων, διὰ τῆς ἐπιδημίας τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἐπειδὴ ἔμφοβοι καὶ ἔντρομοί ἐσμεν, μέλλοντες παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, ἐξαπόστειλον ἐφ' ἡμᾶς ὁ Θεὸς τὴν χάριν σου τὴν ἀγαθὴν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, καὶ ἀλλοίωσον τὰ φρονήματα ἡμῶν πρὸς εὐσέβειαν, ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμεν σοι δῶρα, δόματα, καρπώματα, εἰς ἀθέτησιν τῶν ἡμετέρων πλημμελημάτων, καὶ εἰς ἱλασμὸν παντὸς τοῦ λαοῦ σου, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὸ εἰσελθεῖν εἰς τὸ θυσιαστήριον λέγει ὁ ἱερεύς.

Εἰρήνη πᾶσιν.

Ὁ λαός.

Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεύς.

Ὁ Κύριος εὐλογήσαι πάντας ἡμᾶς, καὶ ἁγιάσαι ἐπὶ τῇ εἰσόδῳ καὶ ἱερουργίᾳ τῶν θείων καὶ ἀχράντων μυστηρίων,[1] καὶ τὰς μακαρίας ψυχὰς ἀναπαύων μετὰ ἁγίων καὶ δικαίων, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει ὁ διάκονος συναπτήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ Θεοῦ φιλανθρωπίας καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν καὶ συγχωρήσεως τῶν πλημμελημάτων ἡμῶν, καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, καὶ ἐπαναστάσεως ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Εἶτα οἱ ψάλται τὸν τρισάγιον ψάλλουσιν ὕμνον.

Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Καὶ ὁ ἱερεὺς ἐπεύχεται ἐπικλινόμενος.

Οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε καὶ ἀληθινὲ Κύριε, ἐπίβλεψον ἐξ ἑτοίμου κατοικητηρίου σου, καὶ ἐπάκουσον ἡμῶν τῶν σῶν ἱκετῶν, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ διαβολικοῦ τε καὶ ἀνθρωπίνου, καὶ μὴ ἀποστήσῃς ἀφ' ἡμῶν τὴν σὴν βοήθειαν, μηδὲ βαρυτέρας τῆς ἡμετέρας δυνάμεως παιδείας ἐπαγάγῃς ἡμῖν· ἡμεῖς γὰρ οὐχ ἱκανοὶ πρὸς τὸ νικᾶν τὰ ἀντιπίπτοντα· σὺ δὲ δυνατὸς εἶ, Κύριε, εἰς τὸ σώζειν ἐκ πάντων τῶν ἐναντιωμάτων· σῶσον ἡμᾶς ὁ Θεὸς ἐκ τῶν δυσχερῶν τοῦ κόσμου τούτου κατὰ τὴν χρηστότη-

τά σου, ὅπως εἰσελθόντες ἐν καθαρᾷ συνειδήσει πρὸς τὸ ἅγιόν σου θυσιαστήριον, τὸν μακάριον καὶ τρισάγιον ὕμνον, σὺν ταῖς ἐπουρανίαις δυνάμεσιν, ἀκατακρίτως ἀναπέμπωμέν σοι· καὶ τὴν εὐάρεστόν σοι καὶ θείαν ἐπιτελέσαντες λειτουργίαν, καταξιωθῶμεν τῆς αἰωνίου ζωῆς.

Ἐκφώνησις.

Ὅτι ἅγιος εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις κατοικεῖς καὶ ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν καὶ τὸν τρισάγιον ὕμνον ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Οἱ ψάλται. Ἀλληλούϊα.

Εἶτα ἀναγινώσκεται[2] διεξοδικώτατα τὰ ἱερὰ λόγια τῆς παλαιᾶς διαθήκης καὶ τῶν προφητῶν, καὶ ἀποδείκνυται ἡ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐνανθρώπησις, τά τε πάθη καὶ ἡ ἐκ νεκρῶν ἀνάστασις, ἡ εἰς τοὺς οὐρανοὺς ἄνοδος, καὶ πάλιν ἡ δευτέρα αὐτοῦ μετὰ δόξης παρουσία· καὶ τοῦτο γίνεται καθ' ἑκάστην ἐν τῇ ἱερᾷ καὶ θείᾳ ἱερουργίᾳ.

Μετὰ δὲ τὸ ἀναγνῶσαι καὶ διδάξαι λέγει ὁ διάκονος·

Εἴπωμεν πάντες, Κύριε ἐλέησον.

Κύριε παντοκράτορ ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως

πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως παντὸς τοῦ φιλοχρίστου λαοῦ, δεόμεθά σου ἐπάκουσον.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, αἰχμαλωσίας, πικροῦ θανάτου, καὶ τῶν ἀνομιῶν ἡμῶν, δεόμεθά σου ἐπάκουσον.

Ὑπὲρ τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ πλούσιον καὶ μέγα ἔλεος, ἱκετεύομέν σε, σπλαγχνίσθητι καὶ ἐλέησον.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Ὕψωσον κέρας Χριστιανῶν τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ.

Ἱκετεύομέν σε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ἐλέησον.

Ὁ λαὸς ἐκ τρίτου.

Κύριε ἐλέησον.

Ὁ διάκονος.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν ἡμῶν, καὶ συγχωρήσεως πλημμελημάτων, καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον οἱ πάντες παρὰ τοῦ Κυρίου διελθεῖν αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ ὑγιείᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ καὶ φρικτοῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Ὁ ἱερεύς.

Σὺ γὰρ εἶ ὁ εὐαγγελισμὸς καὶ ὁ φωτισμὸς, σωτὴρ καὶ φύλαξ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ Θεὸς, καὶ ὁ μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων καὶ δικαίων, μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός. Σοὶ Κύριε.

Ὁ ἱερεύς.

Ὁ ἐνηχήσας ἡμᾶς Θεὸς τὰ θεῖά σου λόγια καὶ σωτήρια, φώτισον τὰς ψυχὰς ἡμῶν τῶν ἁμαρτωλῶν εἰς τὴν τῶν προλεχθέντων κατάληψιν, ὡς μὴ μόνον ἀκροατὰς ὀφθῆναι τῶν πνευματικῶν, ἀλλὰ καὶ ποιητὰς πράξεων ἀγαθῶν, πίστιν μετερχομένους ἀνύπουλον, βίον ἄμεμπτον, πολιτείαν ἀνέγκλητον.

Ἐκφώνησις.

Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός.

Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ λαός. Σοὶ Κύριε.

Ὁ ἱερεὺς ἐπεύχεται λέγων.

Δέσποτα ζωοποιὲ καὶ τῶν ἀγαθῶν χορηγὲ, ὁ δοὺς τοῖς ἀνθρώποις τὴν μακαρίαν ἐλπίδα τῆς αἰωνίου ζωῆς, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καταξίωσον ἡμᾶς ἐν ἁγιασμῷ καὶ ταύτην σοι τὴν θείαν ἐπιτελέσαι λειτουργίαν, εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος.

Ἐκφώνησις.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, καὶ εἰς φῶς ἀληθείας ὁδηγούμενοι, σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

Ὁ λαός. Ἀμήν.

Ὁ διάκονος.

Μή τις τῶν κατηχουμένων, μή τις τῶν ἀμυήτων, μή τις τῶν μὴ δυναμένων ἡμῖν συνδεηθῆναι· ἀλλήλους ἐπίγνωτε· τὰς θύρας· ὀρθοὶ πάντες. Ἔτι τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς εὐχὴν τοῦ θυμιάματος.

Δέσποτα παντοκράτορ, βασιλεῦ τῆς δόξης,[3] ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, αὐτὸς πάρεσον ἡμῖν ἐν τῇ ὥρᾳ ἁγίᾳ ταύτῃ ἐπικαλουμένοις σε· καὶ λύτρωσαι ἡμᾶς ἀπὸ αἰσχύνης παραπτωμάτων· κάθαρον ἡμῶν τὸν νοῦν καὶ τὰ φρονήματα ἀπὸ μιαρῶν ἐπιθυμιῶν καὶ κοσμικῆς ἀπάτης καὶ πάσης διαβολικῆς ἐνεργείας· καὶ πρόσδεξαι ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο, ὡς προσεδέξω τὴν προσφορὰν Ἄβελ καὶ Νῶε καὶ Ἀαρὼν

καὶ Σαμουὴλ, καὶ πάντων σου τῶν ἁγίων, ῥυόμενος ἡμᾶς ἀπὸ παντὸς πονηροῦ πράγματος, καὶ σώζων εἰς τὸ πάντοτε εὐαρεστεῖν καὶ προσκυνεῖν καὶ δοξάζειν σε τὸν Πατέρα καὶ τὸν μονογενῆ σου Υἱὸν καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Καὶ ἄρχονται οἱ ἀναγνῶσται τοῦ χερουβικοῦ.

Οἱ τὰ χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον ᾄδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν, ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξάμενοι ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν, ἀλληλούϊα.

Ὁ ἱερεύς.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, Χριστὸς ὁ Θεὸς ἡμῶν προέρχεται σφαγιασθῆναι καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς· προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ὁ ἹΕΡΕΥΣ[4] εἰσάγων τὰ ἅγια δῶρα, λέγει τὴν εὐχὴν ταύτην.

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξαποστείλας, σωτῆρα, καὶ λυτρωτὴν, καὶ εὐεργέτην, εὐλογοῦντα, καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον,

ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων· ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἱερεύς.

Εἰρήνη πᾶσιν.

Ὁ διάκονος.

Κύριε εὐλόγησον.

Ὁ ἱερεύς.

Εὐλογητὸς ὁ Θεὸς, ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς ἐπὶ τῇ προθέσει τῶν θείων καὶ ἀχράντων μυστηρίων, καὶ τὰς μακαρίας ψυχὰς ἀναπαύων μετὰ ἁγίων καὶ δικαίων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος.

Ἐν σοφίᾳ πρόσχωμεν.

Ἄρχεται ὁ ἱερεύς.

Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ. Καὶ τὰ ἑξῆς τοῦ συμβόλου τῆς πίστεως.

Ἔπειτα ἐπεύχεται κλίνας τὸν αὐχένα.

Ὁ πάντων Θεὸς καὶ Δεσπότης, ἀξίους ἡμᾶς ἀπέργασαι τῆς ὥρας ταύτης τοὺς ἀναξίους, φιλάνθρωπε· ἵνα καθαρεύοντες παντὸς δόλου καὶ πάσης ὑποκρίσεως, ἑνωθῶμεν ἀλλήλοις τῷ τῆς εἰρήνης καὶ τῆς ἀγάπης συνδέσμῳ, βεβαιούμενοι τῷ τῆς σῆς θεογνωσίας ἁγιασμῷ, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Σωτῆ-

ρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος.

Στῶμεν καλῶς, στῶμεν εὐλαβῶς, στῶμεν μετὰ φόβου Θεοῦ καὶ κατανύξεως. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς.

Ὅτι Θεὸς εἰρήνης, ἐλέους, ἀγάπης, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις σὺ, καὶ ὁ μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον νῦν καὶ ἀεί.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος.

Ἀγαπήσωμεν ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ ἱερεὺς ἐπικλινόμενος λέγει τὴν εὐχὴν ταύτην.

Ὁ μόνος Κύριος καὶ ἐλεήμων Θεὸς, τοῖς κλίνουσι τοὺς ἑαυτῶν αὐχένας ἐνώπιον τοῦ ἁγίου θυσιαστηρίου, καὶ ἐπιζητοῦσι τὰς παρὰ σοῦ πνευματικὰς δωρεὰς, ἐξαπόστειλον τὴν χάριν σου τὴν ἀγαθὴν, καὶ εὐλόγησον πάντας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ καὶ ἀναφαιρέτῳ, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ ταπεινὰ ἐφορῶν.

Ἐκφώνησις.

Ὅτι αἰνετὸν καὶ προσκυνητὸν καὶ ὑπερένδοξον ὑπάρχει τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος.

Κύριε εὐλόγησον.

Ὁ ἱερεύς.

Ὁ Κύριος εὐλογήσει καὶ συνδιακονήσει πᾶσιν ἡμῖν τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ.

Καὶ πάλιν.

Ὁ Κύριος εὐλογήσει, καὶ ἀξίους ποιήσει τῆς παραστάσεως τοῦ ἁγίου θυσιαστηρίου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Καὶ πάλιν.

Εὐλογητὸς ὁ Θεὸς, ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς ἐπὶ τῇ παραστάσει καὶ ἱερουργίᾳ τῶν ἀχράντων αὐτοῦ μυστηρίων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ὁ διάκονος ποιεῖ καθολικὴν[5] συναπτήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ λαός. Κύριε ἐλέησον.

Ὁ διάκονος.

Σῶσον, ἐλέησον, οἰκτείρησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς τῇ σῇ χάριτι.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ Θεοῦ φιλανθρωπίας, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, μεμνημένων τῶν πενήτων, χηρῶν καὶ ὀρφανῶν, ξένων καὶ ἐπιδεομένων, καὶ τῶν ἐντειλαμένων ἡμῖν ὥστε μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐν γήρᾳ καὶ ἀδυναμίᾳ ὄντων, νοσούντων, καμνόντων, καὶ τῶν ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχ-

λουμένων, τῆς παρὰ τοῦ Θεοῦ ταχείας ἰάσεως καὶ σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐν παρθενίᾳ, καὶ ἁγνείᾳ, καὶ ἀσκήσει, καὶ ἐν σεμνῷ γάμῳ διαγόντων, καὶ τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἀγωνιζομένων ὁσίων πατέρων τε καὶ ἀδελφῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων Χριστιανῶν, καὶ τῶν ἐν αἰχμαλωσίαις, καὶ ἐξορίαις, καὶ ἐν φυλακαῖς, καὶ πικραῖς δουλείαις ὄντων ἀδελφῶν ἡμῶν, εἰρηνικῆς ἐπανόδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν, καὶ συγχωρήσεως πλημμελημάτων ἡμῶν, καὶ ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, καὶ ἐπαναστάσεως ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, δρόσων ἀγαθῶν, καρπῶν εὐφορίας, τελείας εὐετηρίας, καὶ ὑπὲρ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν παρόντων καὶ συνευχομένων ἡμῖν ἐν ταύτῃ τῇ ἁγίᾳ ὥρᾳ καὶ ἐν παντὶ καιρῷ πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, σπουδῆς, καμάτου, καὶ προθυμίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὑπὲρ πάσης ψυχῆς Χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας Θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων, ὑγιείας τῶν ἀσθενούντων, καὶ ἀναῤῥύσεως τῶν αἰχμαλώτων, ἀναπαύσεως τῶν προκεκοιμημένων πατέρων τε καὶ ἀδελφῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσακουσθῆναι καὶ εὐπρόσδεκτον γενέσθαι τὴν δέησιν ἡμῶν ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ καταπεμφθῆναι ἡμῖν πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν,

ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν οἱ πάντες ἐλεηθῶμεν.

Καὶ ὑπὲρ τῶν προκειμένων τιμίων, ἐπουρανίων, ἀῤῥήτων, ἀχράντων, ἐνδόξων, φοβερῶν, φρικτῶν, θείων δώρων, καὶ σωτηρίας τοῦ παρεστῶτος καὶ προσφέροντος αὐτὰ ἱερέως, Κύριον τὸν Θεὸν ἱκετεύσωμεν.

Ὁ λαός. Κύριε ἐλέησον.

Ἐκ τρίτου.

Εἶτα σφραγίζει τὰ δῶρα ὁ ἱερεὺς, καὶ ἱστάμενος λέγει καθ' ἑαυτὸν οὕτως.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ἐκ τρίτου.

Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ἐκ τρίτου.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Ἐκ τρίτου.

Τοῦ Πατρός. Ἀμήν. Καὶ τοῦ Υἱοῦ. Ἀμήν. Καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἐπικλινόμενος ἔνθεν καὶ ἔνθεν, λέγει.

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Καὶ ἀποκρίνονται ἐπικλινομένως.

Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Εἶτα ὁ ἱερεὺς διεξοδικῶς.

Ὁ ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέοις καὶ οἰκτιρμοῖς, δέσποτα Κύριε, καὶ χαρισάμενος παῤῥησίαν ἡμῖν τοῖς ταπεινοῖς καὶ ἁμαρτωλοῖς καὶ ἀναξίοις σου δούλοις, παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσφέρειν σοι τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἀχρεῖον δοῦλόν σου, καὶ ἐξάλειψον τὰ παραπτώματα διὰ τὴν σὴν εὐσπλαγχνίαν· καὶ καθάρισόν μου τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ ἀπόστησον ἀπ' ἐμοῦ πάντα λογισμὸν αἰσχρόν τε καὶ ἀσύνετον, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος εἰς τὴν λειτουργίαν ταύτην· καὶ πρόσδεξαί με διὰ τὴν ἀγαθότητά σου, προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ εὐδόκησον, Κύριε, δεκτὰ γενέσθαι τὰ προσαγόμενα ταῦτα δῶρα διὰ τῶν ἡμετέρων χειρῶν, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενείαις, καὶ μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, μηδὲ βδελύξῃ τὴν ἐμὴν ἀναξιότητα, ἀλλ' ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου παρένεγκε τὰ ἀνομήματά μου, ἵνα ἀκατακρίτως προσελθὼν κατενώπιον τῆς δόξης σου, καταξιωθῶ τῆς σκέπης τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου Πνεύματος, καὶ μὴ ὡς δοῦλος ἁμαρτίας ἀποδόκιμος γένωμαι, ἀλλ' ὡς δοῦλος σὸς εὕρω χάριν καὶ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν ἐνώπιόν σου, καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι· ναὶ Δέσποτα παντοκράτορ, παντοδύναμε Κύριε, εἰσάκουσον τῆς δεήσεώς μου· σὺ γὰρ εἶ ὁ τὰ πάντα ἐνεργῶν ἐν πᾶσι, καὶ τὴν παρά σου πάντες ἐπιζητοῦμεν ἐπὶ πᾶσι βοήθειάν τε καὶ ἀντίληψιν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ ἀγαθοῦ καὶ ζωοποιοῦ καὶ ὁμοουσίου Πνεύματος, νῦν καὶ εἰς τοὺς αἰῶνας.

Ὁ Θεὸς ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα τὸ πεπλανημένον ἐπαναστρέψῃ πρόβατον, μὴ ἀποστραφῇς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐγχειροῦντάς σου τῇ φοβερᾷ ταύτῃ καὶ ἀναιμάκτῳ θυσίᾳ· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμὲν, ἀλλ' ἐπὶ τῷ ἐλέει σου τῷ ἀγαθῷ, δι' οὗ τὸ γένος ἡμῶν περιποιῇ· ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἵνα μὴ γένηται εἰς κατάκριμα τῷ λαῷ σου τὸ οἰκονομηθὲν ἡμῖν τοῦτο πρὸς σωτηρίαν μυστήριον, ἀλλ' εἰς ἐξάλειψιν ἁμαρτιῶν, εἰς ἀνανέωσιν ψυχῶν καὶ σωμάτων, εἰς εὐαρέστησίν σου τοῦ Θεοῦ καὶ Πατρὸς, ἐν ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Κύριε ὁ Θεὸς, ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν, καὶ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος, εὐδόκησον, δέσποτα, γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἀχράντων σου μυστηρίων· καὶ πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα ἄξιοι γενώμεθα τοῦ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπέρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ δὸς ἡμῖν, Κύριε, μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς προσκομίσαι σοι τὴν πνευματικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος· καὶ ὁ Θεὸς ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἔπιδε ἐπὶ τὴν λογικὴν λατρίαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτὴν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας,

Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικὰς, Δαβὶδ τὴν μετάνοιαν, Ζαχαρίου τὸ θυμίαμα· ὡς προσεδέξω ἐκ χειρὸς τῶν ἀποστόλων σου τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω πρόσδεξαι καὶ ἐκ χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν τὰ προκείμενα δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου· καὶ δὸς γενέσθαι τὴν προσφορὰν ἡμῶν εὐπρόσδεκτον, ἡγιασμένην ἐν Πνεύματι ἁγίῳ, εἰς ἐξίλασμα τῶν ἡμετέρων πλημμελημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, καὶ εἰς ἀνάπαυσιν τῶν προκεκοιμένων ψυχῶν· ἵνα καὶ ἡμεῖς οἱ ταπεινοὶ καὶ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, καταξιωθέντες ἀδόλως λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, λάβωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, καὶ εὕρωμεν χάριν καὶ ἔλεος ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας καὶ ἀγαθῆς.

Εὐχὴ τοῦ καταπετάσματος.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι ἔδωκας ἡμῖν παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων σου, ἣν ἀνεκαίνισας ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς τοῦ Χριστοῦ σου· καταξιωθέντες οὖν εἰσελθεῖν εἰς τόπον σκηνώματος δόξης σου, ἔσω τε γενέσθαι τοῦ καταπετάσματος, καὶ τὰ ἅγια τῶν ἁγίων κατοπτεῦσαι, προσπίπτομεν τῇ σῇ ἀγαθότητι· Δέσποτα, ἐλέησαι ἡμας· ἐπειδὴ ἔμφοβοι καὶ ἔντρομοί ἐσμεν, μέλλοντες παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἐξαπόστειλον ὁ Θεὸς τὴν χάριν σου τὴν ἀγαθὴν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα· καὶ ἀλλοίωσον ἡμῶν τὰ φρονήματα πρὸς εὐσέβειαν, ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμέν σοι ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ἐκφώνησις.

Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος.

Στῶμεν εὐλαβῶς, στῶμεν μετὰ φόβου Θεοῦ καὶ κατανύξεως· πρόσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ, εἰρήνην τῷ Θεῷ προσφέρειν.

Ὁ λαός. Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ ἱερεύς.

Καὶ τὰ περικείμενα τῇ ἱερᾷ ταύτῃ τελετῇ συμβολικῶς ἀμφιάσματα τῶν αἰνιγμάτων ἀνακαλύψας, τηλαυγῶς ἡμῖν ἀνάδειξον· καὶ τὰς νοερὰς ἡμῶν ὄψεις τοῦ ἀπεριλήπτου φωτὸς πλήρωσον, καὶ καθάρας τὴν πτωχείαν ἡμῶν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἀξίαν ἀπέργασαι τῆς φοβερᾶς ταύτης καὶ φρικτῆς παραστάσεως· ὅτι ὑπερεύσπλαγχνος καὶ ἐλεήμων Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

ΕΙΤΑ[6] ἐκφωνεῖ.

Ἡ ἀγάπη τοῦ Κυρίου καὶ Πατρὸς, ἡ χάρις τοῦ Κυρίου καὶ Υἱοῦ, καὶ ἡ κοινωνία καὶ ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ἡμῶν.

Ὁ λαός.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς.

Ἄνω σχῶμεν τὸν νοῦν καὶ τὰς καρδιας.

Ὁ λαός.

Ἄξιον καὶ δίκαιον.

Εἶτα ἐπεύχεται ὁ ἱερεύς.

Ὡς ἀληθῶς ἄξιόν ἐστι καὶ δίκαιον, πρέπον τε καὶ ὀφειλόμενον, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σὲ δοξολογεῖν, σοὶ εὐχαριστεῖν τῷ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου δημιουργῷ, τῷ θησαυρῷ τῶν αἰωνίων ἀγαθῶν, τῇ πηγῇ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τῷ πάντων Θεῷ καὶ Δεσπότῃ· ὃν ὑμνοῦσιν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ πᾶσα ἡ δύναμις αὐτῶν· ἥλιός τε καὶ σελήνη, καὶ πᾶς ὁ τῶν ἄστρων χορός· γῆ, θάλασσα, καὶ πάντα τὰ ἐν αὐτοῖς· Ἱερουσαλὴμ ἡ ἐπουράνιος πανήγυρις, ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν τοῖς οὐρανοῖς· πνεύματα δικαίων καὶ προφητῶν· ψυχαὶ μαρτύρων καὶ ἀποστόλων· ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί τε καὶ ἐξουσίαι καὶ δυνάμεις φοβεραὶ, καὶ τὰ χέρουβὶμ πολυόμματα καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ, ἃ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτει τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἱπτάμενα, κέκραγεν ἕτερον πρὸς ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις·

Ἐκφώνησις.

Τὸν ἐπινίκιον ὕμνον τῆς μεγαλοπρεποῦς σου δόξης λαμπρᾷ τῇ φωνῇ ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα, καὶ λέγοντα·

Ὁ λαός.

Ἅγιος, ἅγιος, ἅγιος Κύριε σαβαὼθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὁ ἱερεὺς σφραγίζων τὰ δῶρα λέγει.

Ἅγιος εἶ, βασιλεῦ τῶν αἰώνων, καὶ πάσης ἁγιωσύνης Κύριος καὶ δωτήρ· ἅγιος καὶ ὁ μονογενής σου Υἱὸς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα ἐποίησας· ἅγιον δὲ καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον, τὸ ἐρευνῶν τὰ πάντα, καὶ τὰ βάθη σου τοῦ Θεοῦ· ἅγιος εἶ, παντοκράτορ, παντοδύναμε, ἀγαθὲ, φοβερὲ, εὔσπλαγχνε, ὁ συμπαθὴς μάλιστα περὶ τὸ πλάσμα τὸ σόν· ὁ ποιήσας ἀπὸ γῆς ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν· ὁ χαρισάμενος αὐτῷ τὴν τοῦ παραδείσου ἀπόλαυσιν· παραβάντα δὲ τὴν ἐντολήν σου, καὶ ἐκπεσόντα, τοῦτον οὐ παρεῖδες, οὐδὲ ἐγκατέλιπες, ἀγαθὲ, ἀλλ' ἐπαίδευσας αὐτὸν ὡς εὔσπλαγχνος πατὴρ, ἐκάλεσας αὐτὸν διὰ νόμου, ἐπαιδαγώγησας αὐτὸν διὰ τῶν προφητῶν· ὕστερον δὲ αὐτὸν τὸν μονογενῆ σου Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξαπέστειλας εἰς τὸν κόσμον, ἵνα ἐλθὼν, τὴν σὴν ἀνανεώσῃ καὶ ἀνεγείρῃ εἰκόνα· ὃς κατελθὼν ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ θεοτόκου, συναναστραφείς τε τοῖς ἀνθρώποις, πάντα ᾠκονόμησε πρὸς σωτηρίαν τοῦ γένους ἡμῶν· μέλλων δὲ τὸν ἑκούσιον καὶ ζωοποιὸν διὰ σταυροῦ θάνατον ὁ ἀναμάρτητος ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν καταδέχεσθαι, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας,

Εἶτα ὁ ἱερεὺς τῇ χειρὶ τὸν ἄρτον κατασχὼν λέγει.

λαβὼν τὸν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀμώμων καὶ ἀθανάτων αὐτοῦ χειρῶν, ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἀναδείξας σοὶ τῷ Θεῷ καὶ Πατρὶ, εὐχαριστήσας, ἁγιάσας, κλάσας, ἔδωκεν ἡμῖν τοῖς αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών,

Λέγουσιν οἱ διάκονοι.

Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Εἶτα ἐκφωνεῖ.

Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον καὶ διδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Εἶτα λαμβάνει τὸ ποτήριον, καὶ λέγει.

Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν τὸ ποτήριον, καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος, καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἀναδείξας σοὶ τῷ Θεῷ καὶ Πατρὶ, εὐχαριστήσας, ἁγιάσας, εὐλογήσας, πλήσας Πνεύματος ἁγίου, ἔδωκεν ἡμῖν τοῖς αὐτοῦ μαθηταῖς εἰπὼν, Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μου ἐστὶ τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχεόμενον, καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς.

Τοῦτο ποεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἄχρις οὗ ἔλθῃ.

Λέγουσιν οἱ διάκονοι.

Πιστεύομεν καὶ ὁμολογοῦμεν.

Ὁ λαός.

Τὸν θάνατόν σου, Κύριε, καταγγέλλομεν, καὶ τὴν ἀνάστασίν σου ὁμολογοῦμεν.

Ὁ ἱερεύς.

Μεμνημένοι οὖν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, τοῦ σωτηρίου σταυροῦ, καὶ τοῦ θανάτου καὶ τῆς τριημέρου ἐκ νεκρῶν ἀναστάσεως,

καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν σου τοῦ Θεοῦ καὶ Πατρὸς καθέδρας· καὶ τῆς δευτέρας ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, ὅταν μέλλῃ ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομέν σοι, Δέσποτα, τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, δεόμενοι ἵνα μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς μεθ' ἡμῶν, μηδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταποδώσῃς ἡμῖν· ἀλλὰ κατὰ τὴν σὴν ἐπιείκειαν καὶ ἄφατόν σου φιλανθρωπίαν, ὑπερβὰς καὶ ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τῶν σῶν ἱκετῶν, χαρίσῃ ἡμῖν τὰ ἐπουράνια καὶ αἰώνιά σου δωρήματα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασας, ὁ Θεὸς, τοῖς ἀγαπῶσί σε· καὶ μὴ δι' ἐμὲ, καὶ διὰ τὰς ἐμὰς ἁμαρτίας ἀθετήσῃς τὸν λαὸν, φιλάνθρωπε Κύριε.

Εἶτα λέγει ἐκ τρίτου.

Ὁ γὰρ λαός σου καὶ ἡ ἐκκλησία σου ἱκετεύουσί σε.

Ὁ λαός.

Ἐλέησον ἡμᾶς, Κύριε ὁ Θεὸς, ὁ πατὴρ ὁ παντοκράτωρ.

Πάλιν λέγει ὁ ἱερεύς.

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς ὁ παντοκράτωρ.

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν.

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ ἐξαπόστειλον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα τὸ Πνεῦμά σου τὸ πανάγιον,

Εἶτα κλίνας τὸν αὐχένα λέγει.

τὸ κύριον καὶ ζωοποιὸν, τὸ σύνθρονον σοὶ τῷ Θεῷ καὶ Πατρὶ, καὶ τῷ μονογενεῖ σου Υἱῷ, τὸ συμβασιλεῦον· τὸ ὁμοούσιόν τε καὶ συναΐδιον· τὸ λαλῆσαν ἐν νόμῳ καὶ προφήταις καὶ τῇ καινῇ σου διαθήκῃ· τὸ καταβὰν

ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ καὶ μεῖναν ἐπ' αὐτόν· τὸ καταβὰν ἐπὶ τοὺς ἀποστόλους σου ἐν εἴδει πυρίνων γλωσσῶν[7] *ἐν τῷ ὑπερῴῳ τῆς ἁγίας καὶ ἐνδόξου Σιὼν, ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς· αὐτὸ τὸ Πνεῦμά σου τὸ πανάγιον κατάπεμψον, Δέσποτα, ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα,*

Καὶ ἀνισταμενος ἐκφωνεῖ.

ἵνα ἐπιφοιτῆσαν τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ, ἁγιάσῃ καὶ ποιήσῃ τὸν μὲν ἄρτον τοῦτον σῶμα ἅγιον τοῦ Χριστοῦ σου.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς.

Καὶ τὸ ποτήριον τοῦτο, αἷμα τίμιον τοῦ Χριστοῦ σου.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς καθ' ἑαυτὸν, ἱστάμενος.

Ἵνα γένηται πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, εἰς καρποφορίαν ἔργων ἀγαθῶν, εἰς στηριγμὸν τῆς ἁγίας σου καθολικῆς ἐκκλησίας, ἣν ἐθεμελίωσας ἐπὶ τὴν πέτραν τῆς πίστεως, ἵνα πύλαι ᾅδου μὴ κατισχύσωσιν αὐτῆς, ῥυόμενος αὐτὴν ἀπὸ πάσης αἱρέσεως καὶ σκανδάλων, καὶ ἐργαζομένων τὴν ἀνομίαν, διαφυλάττων αὐτὴν μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

Καὶ ἐπικλιθεὶς λέγει.

Προσφέρομεν σοι, Δέσποτα, καὶ ὑπὲρ τῶν ἁγίων[8] *σου τόπων, οὓς ἐδόξασας τῇ θεοφανείᾳ τοῦ Χριστοῦ σου, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος· προηγουμένως, ὑπὲρ τῆς ἐνδόξου Σιὼν τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν· καὶ ὑπὲρ τῆς κατὰ πᾶσαν τὴν οἰκουμένην*

ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, πλουσίας καὶ νῦν τὰς δωρεὰς τοῦ παναγίου σου Πνεύματος, ἐπιχορήγησον αὐτῇ, Δέσποτα.

Μνήσθητι, Κύριε, καὶ τῶν ἐν αὐτῇ ἁγίων πατέρων καὶ ἀδελφῶν ἡμῶν καὶ ἐπισκόπων τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας.

Μνήσθητι, Κύριε, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ὀρθοδόξως πίστει οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν.

Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων Χριστιανῶν, τῶν ἐν δεσμοῖς, τῶν ἐν φυλακαῖς, τῶν ἐν αἰχμαλωσίαις καὶ ἐξορίαις, τῶν ἐν μετάλλοις καὶ βασάνοις, καὶ πικραῖς δουλείαις ὄντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Μνήσθητι, Κύριε, τῶν νοσούντων καὶ καμνόντων, καὶ τῶν ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς παρὰ σοῦ τοῦ Θεοῦ ταχείας ἰάσεως αὐτῶν καὶ σωτηρίας.

Μνήσθητι, Κύριε, πάσης ψυχῆς Χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας σου τοῦ Θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων.

Μνήσθητι, Κύριε, τῶν κοπιώντων καὶ διακονούντων ἡμῖν πατέρων καὶ ἀδελφῶν ἡμῶν διὰ τὸ ὄνομά σου τὸ ἅγιον.

Μνήσθητι, Κύριε, πάντων εἰς ἀγαθόν· πάντας ἐλέησον, Δέσποτα, πᾶσιν ἡμῖν διαλλάγηθι· εἰρήνευσον τὰ πλήθη τοῦ λαοῦ σου· διασκέδασον τὰ σκάνδαλα· κατάργησον τοὺς πολέμους· παῦσον τὰς τῶν αἱρέσεων ἐπαναστάσεις· τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς.

Μνήσθητι, Κύριε, εὐκρασίας ἀέρων, ὄμβρων εἰρη-

νικῶν, δρόσων ἀγαθῶν, καρπῶν εὐφορίας, καὶ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις· καὶ μεμνημένων τῶν πενήτων, χηρῶν, ὀρφανῶν, ξένων, καὶ ἐπιδεομένων· καὶ πάντων τῶν ἐντειλαμένων ἡμῖν τοῦ μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς.

Ἔτι μνησθῆναι καταξίωσον, Κύριε, καὶ τῶν τὰς προσφορὰς ταύτας προσενεγκάντων ἐν τῇ σήμερον ἡμέρᾳ ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τῶν ἀρτίως σοι ἀνεγνωσμένων.

Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀχρείου δούλου σου, καὶ τῶν τὸ ἅγιόν σου θυσιαστήριον κυκλούντων διακόνων· καὶ χάρισαι αὐτοῖς βίον ἄμεμπτον, ἄσπιλον αὐτῶν τὴν διακονίαν φύλαξον, καὶ βαθμοὺς ἀγαθοὺς περιποίησαι, ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων κατὰ γενεὰν καὶ γενεὰν, προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, ὁσίων, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τοῦ Χριστοῦ σου τετελειωμένου.

Χαῖρε, κεχαριτωμένη Μαρία, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογήμενος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Εἶτα ἐκφωνεῖ ὁ ἱερεύς.

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Οἱ ψάλται.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν θεοτόκον, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν, τὴν τιμιωτέραν τῶν χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν σεραφίμ· τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ πάλιν ψάλλουσιν.

Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη, πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναὲ καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει κεχαριτωμένη πᾶσα ἡ κτίσις· δόξα σοι.

Οἱ διάκονοι.

Μνήσθητι, Κύριε ὁ Θεὸς, ἡμῶν.

Ὁ ἱερεὺς ἐπικλινόμενος λέγει.

Μνήσθητι, Κύριε ὁ Θεὸς, τῶν πνευμάτων καὶ πάσης σαρκὸς, ὧν ἐμνήσθημεν, καὶ ὧν οὐκ ἐμνήσθημεν, ὀρθοδόξων, ἀπὸ Ἄβελ τοῦ δικαίου μέχρι τῆς σήμερον ἡμέρας· αὐτὸς ἐκεῖ αὐτοὺς ἀνάπαυσον, ἐν χώρᾳ ζώντων, ἐν τῇ βασιλείᾳ σου, ἐν τῇ τρυφῇ τοῦ παραδείσου, ἐν τοῖς κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, τῶν ἁγίων πατέρων ἡμῶν· ὅθεν ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός· ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, καὶ καταλάμπει διὰ παντός· ἡμῶν δὲ τὰ τέλη τῆς ζωῆς Χριστιανὰ καὶ εὐάρεστα καὶ ἀναμάρτητα, ἐν εἰρήνῃ κατεύθυνον, Κύριε, Κύριε, ἐπισυνάγων ἡμᾶς ὑπὸ τοὺς πόδας τῶν ἐκλεκτῶν σου, ὅτε θέλεις καὶ ὡς θέλεις· μόνον χωρὶς αἰσχύνης καὶ παραπτωμάτων, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ, καὶ Σωτῆρος

ἡμῶν Ἰησοῦ Χριστοῦ· αὐτὸς γάρ ἐστιν ὁ μόνος ἀναμάρτητος φανεὶς ἐπὶ τῆς γῆς.

Ὁ διάκονος.

Καὶ ὑπὲρ εἰρήνης καὶ εὐσταθείας παντὸς κόσμου καὶ τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τοῦ περιεστῶτος λαοῦ, καὶ πάντων καὶ πασῶν.

Ὁ λαός.

Καὶ πάντων καὶ πασῶν.

Ὁ ἱερεὺς ἐκφωνεῖ.

Δι' ὧν καὶ ἡμῖν καὶ αὐτοῖς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος,

Ὁ λαός.

Ἄνες, ἄφες, συγχώρησον, ὁ Θεὸς, τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια, τὰ ἀκούσια· τὰ ἐν ἔργῳ καὶ λόγῳ· τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· τὰ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ· τὰ κατὰ νοῦν καὶ διάνοιαν· τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ ἱερεύς.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος.

Ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων,

ἐπουρανίων, ἀῤῥήτων, ἀχράντων, ἐνδόξων, φοβερῶν, φρικτῶν, θείων δώρων Κυρίῳ τῷ Θεῷ δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον, νοερὸν, καὶ πνευματικὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου Πνεύματος, δεηθῶμεν.

Τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ παναγίου αὐτοῦ καὶ προσκυνητοῦ Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπεύχεται.

Ὁ Θεὸς, καὶ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ μεγαλώνυμος Κύριος, ἡ μακαρία φύσις, ἡ ἄφθονος ἀγαθότης, ὁ πάντων Θεὸς καὶ Δεσπότης, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ, καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφὶμ, ᾧ παρεστήκασι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαὶ, τὰ μὲν προσενεχθέντα σοι δῶρα, δόματα, καρπώματα, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς προσεδέξω, καὶ ἁγιάσαι καὶ τελειῶσαι κατηξίωσας, ἀγαθὲ, τῇ χάριτι τοῦ Χριστοῦ σου, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος· ἁγίασον, Δέσποτα, καὶ τὰς ἡμετέρας ψυχὰς καὶ σώματα καὶ τὰ πνεύματα, καὶ ψηλάφησον τὰς διανοίας, καὶ ἀνάκρινον τὰς συνειδήσεις, καὶ ἔκβαλον ἀφ' ἡμῶν πᾶσαν ἔννοιαν πονηρὰν, πάντα λογισμὸν ἀσελγῆ, πᾶσαν ἐπιθυμίαν αἰσχρὰν, πάντα λογισμὸν ἀπρεπῆ, πάντα φθόνον καὶ τῦφον καὶ ὑπόκρισιν· πᾶν ψεῦδος, πάντα δόλον, πάντα περισπασμὸν βιωτικὸν, πᾶσαν πλεονεξίαν, πᾶσαν κενοδοξίαν, πᾶσαν ῥαθυμίαν, πᾶσαν κακίαν, πάντα θυμὸν, πᾶσαν ὀργὴν, πᾶσαν μνησικακίαν,

πᾶσαν βλασφημίαν, πᾶσαν κίνησιν σαρκός τε καὶ πνεύματος ἀπηλλοτριωμένην τοῦ θελήματος τῆς ἁγιότητός σου.

Ἐκφώνησις.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα φιλάνθρωπε, μετὰ παῤῥησίας, ἀκατακρίτως, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ συντετριμμένῃ, ἀνεπαισχύντῳ προσώπῳ, ἡγιασμένοις χείλεσι, τολμᾷν ἐπικαλεῖσθαί σε τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον Θεὸν Πατέρα, καὶ λέγειν.

Ὁ λαός.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· καὶ τὰ ἑξῆς.

Ὁ ἱερεὺς ἐπικλινόμενος λέγει.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, Κύριε, Κύριε τῶν δυνάμεων, ὁ εἰδὼς τὴν ἀσθένειαν ἡμῶν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, καὶ τῶν ἔργων αὐτοῦ, πάσης ἐπηρείας καὶ μεθοδείας αὐτοῦ, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν ἐπὶ τὴν ἡμετέραν ταπείνωσιν.

Ἐκφώνησις.

Ὅτι σου ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ ἱερεύς.

Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστὸς, ἔπιδε ἐπὶ τοὺς δούλους σου, ὅτι σοὶ τοὺς αὐχένας ἐκλίναμεν· ἔκτεινον τὴν

χεῖρά σου τὴν κραταιὰν καὶ πλήρη εὐλογιῶν, καὶ εὐλόγησον τὸν λαόν σου· διαφύλαξον τὴν κληρονομίαν σου, ἵνα ἀεὶ καὶ διὰ παντὸς δοξάζωμεν σὲ τὸν μόνον ζῶντα καὶ ἀληθινὸν Θεὸν ἡμῶν, τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα, Πατέρα *καὶ* Υἱὸν *καὶ τὸ ἅγιον* Πνεῦμα, *νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ἐκφώνησις.

Σοὶ γὰρ πρέπει καὶ ἐποφείλεται ἡ παρὰ πάντων ἡμῶν δοξολογία, τιμὴ, καὶ προσκύνησις καὶ εὐχαριστία, τῷ Πατρὶ *καὶ τῷ* Υἱῷ *καὶ τῷ ἁγίῳ* Πνεύματι *νῦν καὶ ἀεί.*

Ὁ λαός. Ἀ*μήν.*

Ὁ *διάκονος.* Τὰς *κεφαλὰς ἡμῶν τῷ* Κυρίῳ *κλίνωμεν.*

Ὁ λαός. Σοὶ, Κύ*ριε.*

Ὁ *ἱερεὺς ἐπεύχεται λέγων οὕτω.*

Σοὶ *ἐκλίναμεν οἱ δοῦλοί σου,* Κύ*ριε, τοὺς ἡμετέρους αὐχένας ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου, ἀπεκδεχόμενοι τὰ παρὰ σοῦ πλούσια ἐλέη· πλουσίαν τὴν χάριν σου καὶ τὴν εὐλογίαν σου ἐξαπόστειλον ἡμῖν,* Δέσποτα, *καὶ ἁγίασον τὰς ψυχὰς ἡμῶν καὶ τὰ σώματα καὶ τὰ πνεύματα, ἵνα ἄξιοι γενώμεθα κοινωνοὶ καὶ μέτοχοι γενέσθαι τῶν ἁγίων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.*

Ἐκφώνησις.

Σὺ *γὰρ προσκυνητὸς καὶ δεδοξασμένος ὑπάρχεις, ὁ* Θεὸς *ἡμῶν, καὶ ὁ μονογενής σου* Υἱὸς, *καὶ τὸ* Πνεῦμά *σου τὸ πανάγιον, νῦν καὶ ἀεί.*

Ὁ λαός. Ἀ*μήν.*

Ὁ *ἱερεὺς ἐκφωνεῖ.*

Καὶ *ἔσται ἡ χάρις καὶ τὰ ἐλέη τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ἀκτίστου καὶ προσκυνητῆς* Τριάδος *μετὰ πάντων ἡμῶν.*

Ὁ λαός.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ διάκονος.

Μετὰ φόβου Θεοῦ πρόσχωμεν.

Ὁ ἱερεὺς ὑψῶν τὸ δῶρον λέγει καθ' ἑαυτόν.

Ἅγιε ὁ ἐν ἁγίοις ἀναπαυόμενος Κύριε, ἁγίασον ἡμᾶς τῷ λόγῳ τῆς σῆς χάριτος καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου Πνεύματος· σὺ γὰρ εἶπας, Δέσποτα, Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι. Κύριε ὁ Θεὸς ἡμῶν, ἀκατάληπτε Θεοῦ Λόγε, τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι ὁμοούσιε, συναΐδιε, καὶ ἀχώριστε, πρόσδεξαι τὸν ἀκήρατον ὕμνον ἐν ἁγίαις καὶ ἀναιμάκτοις σου θυσίαις, σὺν τοῖς Χερουβὶμ καὶ Σεραφὶμ, καὶ παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ βοῶντος καὶ λέγοντος,

Ἐκφώνησις.

Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ λαός.

Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρὸς, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος.

Ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἱλασμοῦ τῶν ψυχῶν ἡμῶν, καὶ ὑπὲρ πάσης ψυχῆς θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας Θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων, ἰάσεως τῶν ἀσθενούντων, ἀναῤῥύσεως τῶν αἰχμαλώτων, ἀναπαύσεως τῶν προκεκοιμημένων πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, πάντες ἐκτενῶς εἴπωμεν, Κύριε ἐλέησον.

Ὁ λαός. Κύριε ἐλέησον.

Δωδεκάκις.

Εἶτα κλᾷ τὸν ἄρτον ὁ ἱερεὺς, καὶ κρατεῖ τῇ δεξιᾷ τὸ ἥμισυ, καὶ τῇ ἀριστερᾷ τὸ ἥμισυ, καὶ βάπτει τὸ τῆς δεξιᾶς ἐν τῷ κρατῆρι, λέγων.

Ἕνωσις τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Καὶ σφραγίζει τὸ τῆς ἀριστερᾶς· εἶτα τούτῳ τῷ ἐσφραγισμένῳ, τὸ ἄλλο ἥμισυ· καὶ εὐθέως ἄρχεται μελίζειν, καὶ πρὸ πάντων διδόναι εἰς ἕκαστον κρατῆρα ἁπλῆν λέγων.

Ἥνωται καὶ ἡγίασται καὶ τετελείωται εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί.

Καὶ ὅταν σφραγίζῃ τὸν ἄρτον λέγει.

Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, σφαγιασθεὶς ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Καὶ ὅταν διδῷ μερίδα ἁπλῆν εἰς ἕκαστον κρατῆρα, λέγει.

Μερὶς ἁγία Χριστοῦ, πλήρης χάριτος καὶ ἀληθείας, Πατρὸς καὶ ἁγίου Πνεύματος, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα ἄρχεται μελίζειν καὶ λέγειν.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερίσει, εἰς τόπον χλόης· καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ.

Εἶτα.

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ· καὶ τὰ ἑξῆς.

Εἶτα.

Ὑψώσω σε, ὁ Θεός μου ὁ βασιλεύς. καὶ τὰ ἑξῆς.

Εἶτα.

Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη· καὶ τὰ ἑξῆς.

Ὁ διάκονος.

Κύριε εὐλόγησον.

Ὁ ἱερεύς.

Ὁ Κύριος εὐλογήσει, καὶ ἀκατακρίτους ἡμᾶς διατηρήσει ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων αὐτοῦ δωρῶν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Καὶ ὅταν πληρώσωσι, λέγει ὁ διάκονος.

Κύριε εὐλόγησον.

Ὁ ἱερεὺς λέγει.

Ὁ Κύριος εὐλογήσει, καὶ ἀξιώσει ἡμᾶς ἁγναῖς ταῖς τῶν δακτύλων λαβαῖς, λαβεῖν τὸν πύρινον ἄνθρακα, καὶ ἐπιθεῖναι τοῖς τῶν πιστῶν στόμασιν, εἰς καθαρισμὸν καὶ ἀνακαινισμὸν τῶν ψυχῶν αὐτῶν καὶ τῶν σωμάτων, νῦν καὶ ἀεί.

Εἶτα.

Γεύσασθε, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος, ὁ μελιζόμενος καὶ μὴ μεριζόμενος, καὶ τοῖς πιστοῖς μεταδιδόμενος καὶ μὴ δαπανώμενος, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν τὴν αἰώνιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ὁ διάκονος.

Ἐν εἰρήνῃ Χριστοῦ ψάλλωμεν.

Οἱ ψάλται.

Γεύσασθε, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος.

Ὁ ἱερεὺς λέγει εὐχὴν πρὸ τῆς μεταλήψεως.

Κύριος ὁ Θεὸς ἡμῶν, ὁ οὐράνιος ἄρτος, ἡ ζωὴ τοῦ παντὸς, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου, καὶ

οὐκ εἰμὶ ἄξιος μεταλαβεῖν τῶν ἀχράντων σου μυστηρίων, ἀλλ' ὡς εὔσπλαγχνος Θεὸς ἀξίωσόν με τῇ χάριτί σου ἀκατακρίτως μετασχεῖν τοῦ ἁγίου σώματος καὶ τοῦ τιμίου αἵματος εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

[Καὶ μεταλαμβάνει]

Εἶτα μεταδίδωσι τῷ κλήρῳ· ὅτε δὲ ἐπαίρουσιν οἱ διάκονοι τοὺς δίσκους καὶ τοὺς κρατῆρας εἰς τὸ μεταδοῦναι τῷ λαῷ, λέγει ὁ διάκονος αἴρων τὸν πρῶτον δίσκον.

Κύριε εὐλόγησον.

Ἀποκρίνεται ὁ ἱερεύς.

Δόξα τῷ Θεῷ ἁγιάσαντι καὶ ἁγιάζοντι πάντας ἡμᾶς.

Λέγει ὁ διάκονος.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, καὶ ἡ βασιλεία σου διαμένει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὅτε μέλλει ὁ διάκονος τιθέναι εἰς τὸ παρατράπεζον, λέγει ὁ ἱερεύς.

Εὐλογητὸν τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἡμῶν, εἰς τοὺς αἰῶνας.

Ὁ διάκονος.

Μετὰ φόβου Θεοῦ, καὶ πίστεως, καὶ ἀγάπης προσέλθετε.

Ὁ λαός.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Καὶ πάλιν ὅτε ἐπαίρει τὸν δίσκον ἀπὸ τοῦ παρατραπέζου, λέγει.

Κύριε εὐλόγησον.

[Ἡ μετάληψις.]

Ὁ ἱερεύς.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὁ ἱερεὺς πάλιν.

Δόξα τῷ Θεῷ ἡμῶν, τῷ ἁγιάσαντι πάντας ἡμᾶς.

Καὶ ὅταν ἀποθῆται τὸ ποτήριον εἰς τὴν ἁγίαν τράπεζαν, λέγει ὁ ἱερεύς.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λέγουσιν οἱ διάκονοι καὶ ὁ λαός.

Πλήρωσον τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, καὶ χαρᾶς ἔμπλησον τὰ χείλη ἡμῶν, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Καὶ πάλιν.

Εὐχαριστοῦμέν σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τοῦ σώματος καὶ αἵματός σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Ἀκατακρίτους ἡμᾶς φύλαξον, δεόμεθα, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εὐχὴ θυμιάματος εἰς τὴν ἐσχάτην εἴσοδον.

Εὐχαριστοῦμέν σοι τῷ Σωτῆρι τῶν ὅλων Θεῷ ἐπὶ πᾶσιν οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων καὶ ἀχράντων σου μυστηρίων, καὶ προσφέρομέν σοι τὸ θυμίαμα τοῦτο, δεόμενοι, φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου, καὶ καταξίωσον ἡμᾶς μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, εἰς βασιλείας οὐρανῶν κληρονομίαν· ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι.

Καὶ ἄρχεται ὁ διάκονος ἐν τῇ εἰσόδῳ.

Δόξα σοι, δόξα σοι, δόξα σοι, Χριστὲ βασιλεῦ, μονογενὲς Λόγε τοῦ Πατρὸς, ὅτι κατηξίωσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου ἐν ἀπολαύσει γενέσθαι τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον· δόξα σοι.

Καὶ ὅταν ποιήσῃ τὴν εἴσοδον, ἄρχεται λέγειν ὁ διάκονος οὕτως.

Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως γένηται ἡμῖν ἡ μετάληψις τῶν ἁγιασμάτων αὐτοῦ εἰς ἀποτροπὴν παντὸς πονηροῦ πράγματος, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς κοινωνίαν καὶ δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὁ ἱερεὺς εὔχεται.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ λαός. Σοὶ Κύριε.

Ὁ ἱερεύς.

Ὁ Θεὸς, ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν συγκαταβὰς τῇ ἀσθενείᾳ τῶν δούλων σου, καὶ καταξιώσας ἡμᾶς μετασχεῖν ταύτης τῆς ἐπουρανίου τραπέζης, μὴ κατακρίνῃς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων σου μυστηρίων, ἀλλὰ φύλαξον ἡμᾶς, ἀγαθὲ, ἐν ἁγιασμῷ τοῦ ἁγίου σου Πνεύματος, ἵνα ἅγιοι γενόμενοι, εὕρωμεν μέρος καὶ κληρονομίαν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ἐν τῷ φωτὶ τοῦ προσώπου σου, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ

Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι· ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός. Ἀμήν.

Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ λαός. Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος.

Ἐν εἰρήνῃ Χριστοῦ ψάλλωμεν.

Καὶ πάλιν λέγει.

Ἐν εἰρήνῃ Χριστοῦ πορευθῶμεν.

Ὁ λαός.

Ἐν ὀνόματι Κυρίου. Κύριε εὐλόγησον.

Εὐχὴ ἀπολυτικὴ λεγομένη παρὰ τοῦ διακόνου.

Ἀπὸ δόξης εἰς δόξαν πορευόμενοι, σὲ ὑμνοῦμεν τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας· σὲ ὑμνοῦμεν τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ὁ ἱερεὺς λέγει εὐχὴν ἀπὸ τοῦ θυσιαστηρίου μέχρι τοῦ σκευοφυλακίου.

Ἐκ δυνάμεως εἰς δύναμιν πορευόμενοι, καὶ πᾶσαν τὴν ἐν τῷ ναῷ σου πληρώσαντες θείαν λειτουργίαν, καὶ νῦν δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν, τελείας φιλανθρωπίας ἀξίωσον ἡμᾶς· ὀρθοτόμησον τὴν ὁδὸν ἡμῶν· ῥίζωσον ἡμᾶς ἐν τῷ φόβῳ σου, καὶ τῆς ἐπουρανίου βασιλείας ἀξίωσον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ὁ διάκονος.

Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ λεγομένη ἐν τῷ σκευοφυλακίῳ μετὰ τὴν ἀπόλυσιν.

Ἔδωκας ἡμῖν, Δέσποτα, τὸν ἁγιασμὸν ἐν τῇ μετουσίᾳ τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ· δὸς ἡμῖν καὶ τὴν χάριν τοῦ Πνεύματός σου τοῦ ἀγαθοῦ, καὶ φύλαξον ἡμᾶς ἀμώμους ἐν τῇ πίστει· ὁδήγησον ἡμᾶς εἰς τελείαν υἱοθεσίαν καὶ ἀπολύτρωσιν, καὶ εἰς τὰς μελλούσας αἰωνίους ἀπολαύσεις· σὺ γὰρ εἶ ὁ ἁγιασμὸς καὶ φωτισμὸς ἡμῶν ὁ Θεὸς, καὶ ὁ μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμα σου πανάγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος.

Ἐν εἰρήνῃ Χριστοῦ διαφυλαχθῶμεν.

Ὁ ἱερεύς.

Ηὐλόγηται ὁ Θεὸς ὁ εὐλογῶν, καὶ ἁγιάζων διὰ τῆς μεταλήψεως τῶν ἁγίων καὶ ζωοποιῶν καὶ ἀχράντων μυστηρίων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα εὐχὴ τοῦ ἱλασμοῦ.

Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, ἀμνὲ καὶ ποιμὴν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ τὸ δάνειον τοῖς δυσὶ χρεωφειλέταις χαρισάμενος, καὶ τῇ ἁμαρτωλῷ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῆς δοὺς, ὁ τὴν ἴασιν τῷ παραλυτικῷ δωρησάμενος, σὺν τῇ ἀφέσει τῶν ἁμαρτιῶν αὐτοῦ, ἄνες, ἄφες, συγχώρησον ὁ Θεὸς τὰ πλημμελήματα ἡμῶν τὰ ἑκούσια, τὰ ἀκούσια, τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ ἐν παραβάσει καὶ παρακοῇ

γενόμενα, ἃ οἶδε τὸ Πνεῦμά σου τὸ πανάγιον ὑπὲρ τοὺς δούλους σου· καὶ εἴ τι τῶν ἐντολῶν σου ἄνθρωποι σάρκα φοροῦντες καὶ τὸν κόσμον τοῦτον οἰκοῦντες, ἢ ἐκ τοῦ διαβόλου ἐπλανήθησαν, εἴτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, εἴτε ὑπὸ κατάραν ὑπέπεσαν, ἢ τῷ ἰδίῳ ἀναθέματι, παρακαλῶ καὶ δέομαι τὴν ἄφατόν σου φιλανθρωπίαν, τῷ μὲν λόγῳ λυθῆναι, συγχωρηθῆναι δὲ αὐτοῖς τῷ ὅρκῳ καὶ τῷ ἰδίῳ ἀναθέματι κατὰ τὴν σὴν ἀγαθότητα. Ναὶ, Δέσποτα Κύριε, εἰσάκουσον τῆς δεήσεώς μου ὑπὲρ τῶν δούλων σου, καὶ πάριδε ὡς ἀμνησίκακος τὰ ἐπταισμένα αὐτῶν ἅπαντα· συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἀπάλλαξον αὐτοὺς τῆς αἰωνίου κολάσεως· σὺ γὰρ εἶ ὁ ἐντειλάμενος ἡμῖν λέγων, ὅτι Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς· ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν καὶ ἀφιέναι ἁμαρτίας δυνάμενος, καὶ πρέπει σοι ἡ δόξα σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

NOTES.

(1) The omission of the word καὶ would make the sen tence run more easily.

(2) This Rubric is a decisive proof of the very great antiquity of this Liturgy. It is not certain what is the exact meaning of the word διεξοδικώτατα: whether, as some would have it, *continuously and consecutively*, or as others, *at very great length.*

(3) Some of the editions insert ὁ Θεὸς before ὁ εἰδώς.

(4) Here again we have the Great Entrance, as in the Liturgy of S. Mark, page 15, line 7.

(5) The Universal Collect: which, in the Liturgies of the Constantinopolitan family, is called the Ectene or Ectenes: whether from the *intense* or from the *prolonged* character of the supplications.

(6) The commencement of the Anaphora, as in S. Mark's Liturgy, page 17, line 15.

(7) Notice the far more graphic detail of the descent of the Holy Ghost here than in the other Primitive Liturgies, as if it were indeed written by an eye-witness of the first Pentecost.

(8) In the Liturgy of the Church of Jerusalem, the Holy Places have, with singular propriety, specail mention.

THE LITURGY

OF

SAINT CLEMENT,

OR

ACCORDING TO THE USE OF THE

Apostolical Constitutions.

EDITED BY THE

REV. J. M. NEALE, M.A.,

WARDEN OF SACKVILLE COLLEGE.

LONDON:

J. T. HAYES, LYALL PLACE, EATON SQUARE.

1858.

W. M. WATTS, CROWN COURT, TEMPLE BAR.

PREFACE.

It is needless to discuss the question as to the age of the Apostolical Constitutions; a question on which so much learning has been expended, and which can never be answered with certainty. We shall do well, with the generality of learned men, to assign them to the Third Century; but the Liturgy which they contain is probably of a far earlier date.

Some have considered it to be the production of a Judaizing set of Christians; an opinion for which I cannot see the least ground. I could more easily imagine that it was the Liturgy—in all its main points—given by S. Paul to the churches of his foundation: the whole language and tenour of thought so closely resembling that of the Apostle of the Gentiles, and one expression of his—"cleansing ourselves from all filthiness both of the flesh and spirit"—actually occurring seven times in its course.

At the same time it is not actually certain that the Clementine Liturgy was ever actually used anywhere; or that it was more than a kind of normal liturgy, drawn up by the compiler, whoever he were, of the Apostolical Constitutions.

Its Liturgical peculiarity, as every one is aware, is its

omission of the Lord's Prayer ; an omission which, according to the opinion, though mistaken, of some Canonists, would render the Liturgy itself invalid.

The text of the following pages does not entirely follow that of any preceding edition, though it but seldom departs from that of Cotelerius (Amsterdam : 1698).

It will be followed, with God's help, by the Liturgy of S. Chrysostom.

Sackville College:
Sep. 13, 1858.

THE

LITURGY OF S. CLEMENT.

ΚΑΙ τῇ ἕωθεν ἐνθρονιζέσθω εἰς τὸν αὐτῷ διαφέροντα τόπον παρὰ τῶν λοιπῶν ἐπισκόπων, πάντων αὐτὸν φιλησάντων τῷ ἐν κυρίῳ φιλήματι. Καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν, τῶν τε ἐπιστολῶν ἡμῶν καὶ τῶν πράξεων καὶ τῶν εὐαγγελίων, ἀσπασάσθω ὁ χειροτονηθεὶς τὴν ἐκκλησίαν, λεγων·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν. Καὶ πάντες ἀποκρινέσθωσαν· Καὶ μετὰ τοῦ πνεύματός σου.

Καὶ μετὰ τὴν πρόςρησιν προςλαλησάτω τῷ λάῳ λόγους παρακλήσεως· καὶ πληρώσαντος αὐτοῦ τὸν τῆς διδασκαλίας λόγον· Φημὶ ἐγὼ Ἀνδρέας ὁ ἀδελφὸς Πέτρου· ἀναστάντων ἁπάντων, ὁ διάκονος ἐφ᾽ ὑψηλοῦ τινος ἀνελθὼν κηρυττέτω· Μή τις τῶν ἀκροωμένων· μή τις τῶν ἀπίστων. Καὶ ἡσυχίας γενομένης λέγετω·

Εὔξασθε οἱ κατηχούμενοι· Καὶ πάντες οἱ πιστοὶ κατὰ διάνοιαν ὑπὲρ αὐτῶν προςευχέσθωσαν, λέγοντες· Κύριε ἐλέησον. Διακονείτω δὲ ὑπὲρ αὐτῶν λέγων· Ὑπὲρ τῶν κατηχουμένων πάντες τὸν Θεὸν παρακαλέσωμεν, ἵνα ὁ ἀγαθὸς, φιλάνθρωπος εὐμενῶς εἰςακούσῃ τῶν δεήσεων αὐτῶν καὶ τῶν παρακλήσεων, καὶ προςδεξάμενος αὐτῶν τὴν ἱκεσίαν ἀντιλάβηται αὐτῶν καὶ δῷ αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν πρὸς τὸ συμφέρον, ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τοῦ

Χριστοῦ αὐτοῦ, φωτίσῃ αὐτοὺς καὶ συνετίσῃ, παιδεύσῃ αὐτοὺς τὴν θεογνωσίαν, διδάξῃ αὐτοὺς τὰ προστάγματα αὐτοῦ καὶ τὰ δικαιώματα, ἐγκαταφυτεύσῃ ἐν αὐτοῖς τὸν ἁγνὸν αὐτοῦ καὶ σωτήριον φόβον, διανοίξῃ τὰ ὦτα τῶν καρδιῶν αὐτῶν πρὸς τὸ ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι ἡμέρας καὶ νυκτὸς, βεβαιώσῃ δὲ αὐτοὺς ἐν τῇ εὐσεβείᾳ, ἑνώσῃ καὶ ἐγκαταριθμήσῃ αὐτοὺς τῷ ἁγίῳ αὐτοῦ ποιμνίῳ, καταξιώσας αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, τῆς ὄντως ζωῆς, ῥύσηται δὲ αὐτοὺς ἀπὸ πάσης ἀσεβείας, καὶ μὴ δῷ τόπον τῷ ἀλλοτρίῳ κατ᾽ αὐτῶν, καθαρίσῃ δὲ αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐνοικήσῃ τε ἐν αὐτοῖς καὶ ἐμπεριπατήσῃ διὰ τοῦ Χριστοῦ αὐτοῦ, εὐλογήσῃ τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους, καὶ κατευθύνῃ αὐτοῖς τὰ προκείμενα εἰς τὸ συμφέρον. Ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν ἱκετεύσωμεν, ἵνα ἀφέσεως τυχόντες τῶν πλημμελημάτων διὰ τῆς μυήσεως, ἀξιωθῶσι τῶν ἁγίων μυστηρίων καὶ τῆς μετὰ τῶν ἁγίων διαμονῆς. Ἐγείρεσθε, οἱ κατηχούμενοι. Τὴν εἰρήνην τοῦ Θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ αἰτήσασθε, εἰρηνικὴν ἡμέραν καὶ ἀναμάρτητον καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ὑμῶν, χριστιανὰ ὑμῶν τὰ τέλη, ἵλεων καὶ εὐμενῆ τὸν Θεὸν, ἄφεσιν πλημμελημάτων, ἑαυτοὺς τῷ μόνῳ ἀγεννήτῳ Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ παράθεσθε. κλίνατε καὶ εὐλογεῖσθε.

Ἐφ᾽ ἑκάστῳ δὲ τούτων, ὧν ὁ διάκονος προσφωνεῖ, ὡς προείπομεν, λεγέτω ὁ λαός· *Κύριε ἐλέησον καὶ πρὸ πάντων τὰ παιδία.* Κλινόντων δὲ αὐτῶν τὰς κεφαλὰς, εὐλογείτω αὐτοὺς ὁ χειροτονηθεὶς ἐπίσκοπος εὐλογίαν τοιάνδε· *Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀγέννητος καὶ ἀπρόσιτος, ὁ μόνος ἀληθινὸς Θεὸς, ὁ Θεὸς καὶ πατὴρ τοῦ Χριστοῦ σου τοῦ μονογενοῦς υἱοῦ σου, ὁ Θεὸς τοῦ Παρακλήτου, καὶ τῶν ὅλων κύριος· ὁ διὰ Χριστοῦ διδασκάλους τοὺς μαθητὰς ἐπιστήσας πρὸς μάθησιν τῆς εὐσεβείας· αὐτὸς*

καὶ νῦν ἔπιδε ἐπὶ τοὺς δούλους σου, τοὺς κατηχουμένους τὸ εὐαγγέλιον τοῦ Χριστοῦ σου· καὶ δὸς αὐτοῖς καρδίαν καινὴν, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις αὐτῶν, πρὸς τὸ εἰδέναι καὶ ποιεῖν τὸ θέλημά σου, ἐν καρδίᾳ πλήρει καὶ ψυχῇ θελούσῃ· καταξίωσον αὐτοὺς τῆς ἁγίας μυήσεως, καὶ ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, καὶ μετόχους ποίησον τῶν θείων μυστηρίων, διὰ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, τοῦ ὑπὲρ αὐτῶν ἀποθανόντος· δι' οὗ σοι δόξα καὶ τὸ σέβας, ἐν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Καὶ μετὰ τοῦτο ὁ διάκονος λεγέτω, προέλθετε οἱ κατηχούμενοι ἐν εἰρήνῃ. Καὶ μετὰ τὸ ἐξελθεῖν αὐτοὺς, λεγέτω· Εὔξασθε οἱ ἐνεργούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων. ἐκτενῶς πάντες ὑπὲρ αὐτῶν δεηθῶμεν, ὅπως ὁ φιλάνθρωπος Θεὸς διὰ Χριστοῦ ἐπιτιμήσῃ τοῖς ἀκαθάρτοις καὶ πονηροῖς πνεύμασι, καὶ ῥύσηται τοὺς αὐτοῦ ἱκέτας ἀπὸ τῆς τοῦ ἀλλοτρίου καταδυναστείας· ὁ ἐπιτιμήσας τῷ λεγεῶνι τῶν δαιμόνων καὶ τῷ ἀρχεκάκῳ διαβόλῳ, ἐπιτιμήσῃ αὐτὸς καὶ νῦν τοῖς ἀποστάταις τῆς εὐσεβείας, καὶ ῥύσηται τὰ ἑαυτοῦ πλάσματα ἀπὸ τῆς ἐνεργείας αὐτοῦ, καὶ καθαρίσῃ αὐτὰ, ἃ μετὰ πολλῆς σοφίας ἐποίησεν. Ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν δεηθῶμεν, σῶσον καὶ ἀνάστησον αὐτοὺς ὁ Θεὸς, ἐν τῇ δυνάμει σου. Κλίνατε οἱ ἐνεργούμενοι καὶ εὐλογεῖσθε. Καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω, λέγων. Ὁ τὸν ἰσχυρὸν δείσας, καὶ πάντα τὰ σκεύη αὐτοῦ διαρπάσας· ὁ δοὺς ἡμῖν ἐξουσίαν ἐπάνω ὄφεων καὶ σκορπίων πατεῖν, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· ὁ τὸν ἀνθρωποκτόνον ὄφιν δεσμώτην παραδοὺς ἡμῖν, ὡς στρουθίον παιδίοις· ὃν πάντα φρίττει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου. ὁ ῥήξας αὐτὸν ὡς ἀστραπὴν ἐξ οὐρανοῦ εἰς γῆν, οὐ τοπικῷ ῥήγνματι, ἀλλὰ ἀπὸ τιμῆς εἰς ἀτιμίαν, δι' ἑκούσιον αὐτοῦ κακόνοιαν, οὗ τὸ βλέμμα ξηραίνει ἀβύσσους, καὶ ἡ ἀπειλὴ τήκει ὄρη,

καὶ ἡ ἀλήθεια μένει εἰς τὸν αἰῶνα· ὃν αἰνεῖ τὰ νήπια, καὶ εὐλογεῖ τὰ θηλάζοντα· ὃν ὑμνοῦσι καὶ προσκυνοῦσιν ἄγγελοι· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται· ὁ ἀπειλῶν θαλάσσῃ καὶ ξηραίνων αὐτὴν, καὶ πάντας τοὺς ποταμοὺς αὐτοὺς ἐξερημῶν· οὗ νεφέλαι κονιορτὸς τῶν ποδῶν· ὁ περιπατῶν ἐπὶ θαλάσσης, ὡς ἐπ' ἐδάφους· μονογενὴς Θεὲ, μεγάλου Πατρὸς *Υἱὲ, ἐπιτίμησον τοῖς πονηροῖς πνεύμασι, καὶ ῥῦσαι τὰ ἔργα τῶν χειρῶν σου ἐκ τῆς τοῦ ἀλλοτρίου πνεύματος ἐνεργείας· ὅτι σοι δόξα, τιμὴ καὶ σέβας, καὶ διὰ σοῦ τῷ σῷ* Πατρὶ, *ἐν ἁγίῳ* Πνεύματι, *εἰς τοὺς αἰῶνας. ἀμήν.*

Καὶ ὁ διάκονος λεγέτω· *προέλθετε οἱ ἐνεργούμενοι.* Καὶ μετ' αὐτοὺς προσφωνείτω· *εὔξασθε οἱ φωτιζόμενοι.* Ἐκτενῶς *οἱ πιστοὶ πάντες ὑπὲρ αὐτῶν παρακαλέσωμεν, ὅπως ὁ κύριος καταξιώσῃ αὐτοὺς μυηθέντας εἰς τὸν τοῦ* Χριστοῦ *θάνατον συναναστῆναι αὐτῷ, καὶ μετόχους γενέσθαι τῆς βασιλείας αὐτοῦ, καὶ κοινωνοὺς τῶν μυστηρίων αὐτοῦ, ἑνώσῃ καὶ συγκαταλέξῃ αὐτοὺς μετὰ τῶν σωζομένων ἐν τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ.* Σῶσον *καὶ ἀνάστησον αὐτοὺς ἐν τῇ σῇ χάριτι.* Κατασφραγισάμενοι *τῷ* Θεῷ *διὰ τοῦ* Χριστοῦ *αὐτοῦ, κλίναντες εὐλογείσθωσαν παρὰ τοῦ ἐπισκόπου τήνδε τὴν εὐλογίαν.* Ὁ *προειπὼν διὰ τῶν ἁγίων σου προφητῶν τοῖς μυουμένοις· λούσασθε, καθαροὶ γίνεσθε· καὶ διὰ τοῦ* Χριστοῦ *νομοθετήσας τὴν πνευματικὴν ἀναγέννησιν· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τοὺς βαπτιζομένους, καὶ εὐλόγησον αὐτοὺς καὶ ἁγίασον, καὶ παρασκεύασον ἀξίους γενέσθαι τῆς πνευματικῆς σου δωρεᾶς, καὶ τῆς ἀληθινῆς υἱοθεσίας τῶν πνευματικῶν σου μυστηρίων, τῆς μετὰ τῶν σωζομένων ἐπισυναγωγῆς, διὰ* Χριστοῦ *τοῦ σωτῆρος ἡμῶν· δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας ἐν ἁγίῳ* Πνεύματι, *εἰς τοὺς αἰῶνας· ἀμήν.*

Καὶ λεγέτω ὁ διάκονος· προέλθετε οἱ φωτιζόμενοι. Καὶ μετὰ τοῦτο κηρυττέτω· Εὔξασθε οἱ ἐν τῇ μετανοίᾳ. ἐκτενῶς πάντες ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν παρακαλέσωμεν, ὅπως ὁ φιλοικτίρμων Θεὸς ὑποδείξῃ αὐτοῖς ὁδὸν μετανοίας, προςδέξηται αὐτῶν τὴν παλινῳδίαν καὶ τὴν ἐξομολόγησιν, καὶ συντρίψῃ τὸν Σαταναν ὑπὸ τοὺς πόδας αὐτῶν ἐν τάχει, καὶ λυτρώσηται αὐτοὺς ἀπὸ τῆς παγίδος τοῦ διαβόλου καὶ τῆς ἐπηρείας τῶν δαιμόνων, καὶ ἐξέληται αὐτοὺς ἀπὸ παντὸς ἀθεμίτου λόγου, καὶ πάσης ἀτόπου πράξεως, καὶ πονηρᾶς ἐννοίας· συγχωρήσῃ δὲ αὐτοῖς πάντα τὰ παραπτώματα αὐτῶν, τά τε ἑκούσια καὶ τὰ ἀκούσια, καὶ ἐξαλείψῃ τὸ κατ' αὐτῶν χειρόγραφον, καὶ ἐγγράψηται αὐτοὺς ἐν βίβλῳ ζωῆς· καθαρῇ δὲ αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ ἑνώσῃ αὐτοὺς ἀποκαταστήσας εἰς τὴν ἁγίαν αὐτοῦ ποίμνην, ὅτι αὐτὸς γινώσκει τὸ πλάσμα ἡμῶν. Ὅτι τίς καυχήσεται ἁγνὴν ἔχειν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις. ἔτι ὑπὲρ αὐτῶν ἐκτενέστερον δεηθῶμεν, ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ὅπως ἀποστραφέντες παν ἔργον ἀθέμιτον, προςοικειωθῶσι πάσῃ πράξει ἀγαθῇ, ἵνα ὁ φιλάνθρωπος Θεὸς ᾗ τάχος εὐμενῶς προςδεξάμενος αὐτῶν τὰς λιτὰς, ἀποκαταστήσῃ αὐτοῖς ἀγαλλίασιν τοῦ σωτηρίου, καὶ πνεύματι ἡγεμονικῷ στηρίξῃ αὐτοὺς, ἵνα μηκέτι σαλευθῶσι· κοινωνοὶ γενέσθαι τῶν ἁγίων αὐτοῦ ἱερῶν, καὶ μέτοχοι τῶν θείων μυστηρίων· ἵνα ἄξιοι ἀποφανθέντες τῆς υἱοθεσίας, τύχωσι τῆς αἰωνίου ζωῆς. Ἔτι ἐκτενῶς πάντες ὑπὲρ αὐτῶν εἴπωμεν· κύριε ἐλέησον, σῶσον αὐτοὺς ὁ Θεὸς, καὶ ἀνάστησον τῷ ἐλέει σου. Ἀναστάντες τῷ Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ, κλίνατε καὶ εὐλογεῖσθε. Ἐπευχέσθω οὖν ὁ ἐπίσκοπος τοίαδε. Παντοκράτορ Θεὲ αἰώνιε, δέσποτα τῶν ὅλων, κτίστα καὶ πρύτανι τῶν

πάντων· ὁ τὸν ἄνθρωπον κόσμου κόσμον ἀναδείξας διὰ Χριστοῦ, καὶ νόμον δοὺς αὐτῷ ἔμφυτον καὶ γραπτὸν, πρὸς τὸ ζῆν αὐτὸν ἐνθέσμως, ὡς λογικόν· καὶ ἁμαρτόντι ὑποθήκην δοὺς πρὸς μετάνοιαν τὴν σαυτοῦ ἀγαθότητα· ἔπιδε ἐπὶ τοὺς κεκλικότας σοι αὐχένα ψυχῆς καὶ σώματος· ὅτι οὐ βούλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν, ὥστε ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆν. Ὁ Νινευϊτῶν προσδεξάμενος τὴν μετάνοιαν· ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ὁ τὸν υἱὸν προσδεξάμενος, τὸν καταφαγόντα τὸν βίον αὐτοῦ ἀσώτως, πατρικοῖς σπλάγχνοις, διὰ τὴν μετάνοιαν· αὐτὸς καὶ νῦν πρόσδεξαι τῶν ἱκετῶν σου τὴν μετάγνωσιν· ὅτι οὐκ ἔστιν ὃς οὐχ ἁμαρτήσεταί σοι· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃ, κύριε, κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι· καὶ ἀποκατάστησον αὐτοὺς τῇ ἁγίᾳ σου ἐκκλησίᾳ ἀξίᾳ καὶ τιμῇ, διὰ τοῦ Χριστοῦ τοῦ Θεοῦ σωτῆρος ἡμῶν· δι' οὗ σοι δόξα καὶ προσκύνησις, ἐν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμὴν.

Καὶ ὁ διάκονος λεγέτω· *ἀπολύεσθε οἱ ἐν μετανοίᾳ·* Καὶ προστιθέτω· *μήτις τῶν μὴ δυναμένων προελθέτω· ὅσοι πιστοὶ κλίνωμεν γόνυ. Δεηθῶμεν τοῦ Θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ. Πάντες συντόνως τὸν Θεὸν διὰ τοῦ Χριστοῦ αὐτοῦ παρακαλέσωμεν.*

Ὑπὲρ τῆς εἰρήνης καὶ τῆς εὐσταθείας τοῦ κόσμου καὶ τῶν ἁγίων ἐκκλησιῶν δεηθῶμην ὅπως ὁ τῶν ὅλων θεὸς ἀΐδιον καὶ ἀναφαίρετον τὴν ἑαυτοῦ εἰρήνην ἡμῖν παράσχοιτο, ἵνα ἐν πληροφορίᾳ τῆς κατ' εὐσέβειαν ἀρετῆς διατελοῦντας ἡμᾶς συντηρήσῃ.

Ὑπὲρ τῆς ἁγίας καὶ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων δεηθῶμεν· ὅπως ὁ κύριος ἄσειστον αὐτὴν καὶ ἀκλυδώνιστον δια-

φυλάξῃ καὶ διατηρήσῃ μέχρι τῆς συντελείας τοῦ αἰῶνος, τεθεμελιωμένην ἐπὶ τὴν πέτραν.

Καὶ ὑπὴρ τῆς ἐνθάδε ἁγίας παροικίας δεηθῶμεν· ὅπως καταξιώσῃ ἡμᾶς ὁ τῶν ὅλων κύριος ἀνενδότως τὴν ἐπουράνιον αὐτοῦ ἐλπίδα μεταδιώκειν, καὶ ἀδιάλειπτον αὐτῷ τῆς δεήσεως ἀποδιδόναι τὴν ὀφειλήν.

Ὑπὲρ πάσης ἐπισκοπῆς τῆς ὑπὸ τὸν οὐρανον τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας δεηθῶπεν· καὶ ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Ἰακώβου καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν· ὑπὲρ τοῦ ἐπισκόπου Κλήμεντος καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν· ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Εὐοδίου καὶ τῶν παροικιῶν δεηθῶμεν· ὅπως ὁ οἰκτίρμων θεὸς χαρίσηται αὐτοὺς ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις σώους, ἐντίμους, μακροημερεύοντας, καὶ τίμιον αὐτοῖς τὸ γῆρας παράσχηται ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ.

Καὶ ὑπὲρ τῶν πρεςβυτέρων ἡμῶν δεηθῶμεν· ὅπως ὁ κύριος ῥύσηται αὐτοὺς ἀπὸ παντὸς ἀτόπου καὶ πονηροῦ πράγματος, καὶ σῶον καὶ ἔντιμον τὸ πρεσβυτέριον αὐτοῖς παράσχοι.

Ὑπὲρ πάσης τῆς ἐν Χριστῷ διακονίας καὶ ὑπηρεσίας δεηθῶμεν, ὅπως ὁ κύριος ἄμεμπτον διακονίας αὐτοῖς παράσχηται.

Ὑπὲρ ἀναγνωστῶν, ψαλτῶν, παρθένων, χηρῶν τε καὶ ὀρφανῶν δεηθῶμεν, ὑπὲρ τῶν ἐν συζυγίαις καὶ τεκνογονίαις δεηθῶμεν, ὅπως ὁ κύριος τοὺς πάντας αὐτοὺς ἐλεήσῃ.

Ὑπὲρ εὐνούχων ὁσίως πορευομένων δεηθῶμεν· ὑπὲρ τῶν ἐν ἐγκρατείᾳ καὶ εὐλαβειᾳ δεηθῶμεν· ὑπὲρ τῶν καρποφορούντων ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ ποιούντων τοῖς πένησι τὰς ἐλεημοσύνας δεηθῶμεν· καὶ ὑπὲρ τῶν τὰς θυσίας καὶ τὰς ἀπαρχὰς προςφερόντων Κυρίῳ τῷ Θεῷ ἡμῶν δεηθῶμεν· ὅπως ὁ πανάγαθος Θεὸς ἀμείψηται αὐτοὺς ταῖς ἐπουρανίαις αὐτοῦ δωρεαῖς, καὶ δῷ αὐτοῖς ἐν τῷ παρόντι ἑκατονταπλασίονα καὶ ἐν τῷ μέλλοντι

ζωὴν αἰώνιον καὶ χαρίσηται αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουρανια.

Ὑπὲρ τῶν νεοφωτίστων ἀδελφῶν ἡμῶν δεηθῶμεν, ὅπως ὁ κύριος στηρίξῃ αὐτοὺς καὶ βεβαιώσῃ.

Ὑπὲρ τῶν ἐν ἀῤῥωστίᾳ ἐξεταζομένων ἀδελφῶν ἡμῶν δεηθῶμεν, ὅπως ὁ κύριος ῥύσηται αὐτοὺς πάσης νόσου καὶ πάσης μαλακίας καὶ σώους ἀποκαταστήσῃ τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ.

Ὑπὲρ πλεόντων καὶ ὁδοιπορούντων δεηθῶμεν, ὑπὲρ τῶν ἐν μετάλλοις καὶ ἐξορίαις καὶ φυλακαῖς καὶ δεσμοῖς ὄντων διὰ τὸ ὄνομα τοῦ Κυρίου δεηθῶμεν· ὑπὲρ τῶν ἐν πικρᾷ δουλείᾳ καταπονουμένων δεηθῶμεν· ὑπὲρ ἐχθρῶν καὶ μισούντων ἡμᾶς διὰ τὸ ὄνομα τοῦ Κυρίου δεηθῶμεν, ὅπως ὁ Κύριος πραΰνας τὸν θυμὸν αὐτῶν διασκεδάσαι τὴν καθ' ἡμῶν ὀργήν.

Ὑπὲρ τῶν ἔξω ὄντων καὶ πεπλανημένων δεηθῶμεν, ὅπως ὁ κύριος αὐτοὺς ἐπιστρέψῃ.

Τῶν νηπίων τῆς ἐκκλησίας μνημονεύσωμεν, ὅπως ὁ Κύριος τελειώσας αὐτὰ ἐν τῷ φόβῳ αὐτοῦ εἰς μέτρον ἡλικίας ἀγάγῃ.

Ὑπὲρ ἀλλήλων δεηθῶμεν ὅπως ὁ Κύριος τηρήσῃ ἡμᾶς καὶ φυλάξῃ τῇ αὐτοῦ χάριτι εἰς τέλος, καὶ ῥύσηται ἡμᾶς τοῦ πονηροῦ καὶ πάντων τῶν σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν καὶ σώσῃ εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον.

Ὑπὲρ πάσης ψυχῆς χριστιανῆς δεηθῶμεν. Σῶσον καὶ ἀνάστησον ἡμᾶς ὁ Θεὸς τῷ ἐλέει σου.

Ἐγειρώμεθα.

Δεηθέντες ἐκτενῶς ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ παραθώμεθα.

Ἐπευχέσθω δὲ ὁ ἀρχιερεὺς καὶ λεγέτω· Κύριε παντοκράτορ, ὕψιστε, ὁ ἐν ὑψηλοῖς κατοικῶν, ἅγιε ἐν ἁγίοις ἀναπαυόμενε, ἄναρχε, μόναρχε· ὁ διὰ Χριστοῦ κήρυγμα γνώσεως δοὺς ἡμῖν εἰς ἐπίγνωσιν τῆς σῆς δόξης καὶ

τοῦ ὀνόματός σου, οὗ ἐφανέρωσεν ἡμῖν εἰς κατάληψιν· αὐτὸς καὶ νῦν ἔπιδε δι' αὐτοῦ ἐπὶ τὸ ποίμνιόν σου τοῦτο· καὶ λύτρωσαι αὐτὸ πάσης ἀγνοίας καὶ πονηρᾶς πράξεως καὶ δὸς φόβῳ φοβεῖσθαί σε καὶ ἀγάπῃ ἀγαπᾷν σε καὶ στέλλεσθαι ἀπὸ προσώπου δόξης σου· εὐμενὴς αὐτοῖς γενοῦ καὶ ἵλεως καὶ ὑπήκοος ἐν ταῖς προσευχαῖς αὐτῶν, καὶ φύλαξον αὐτοὺς ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους, ἵνα ὦσιν ἅγιοι σώματι καὶ ψυχῇ, μὴ ἔχοντες σπῖλον ἢ ῥύπιδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ὦσιν ἄρτιοι καὶ μηδεὶς ἐν αὐτοῖς ᾖ ἀτελής. Ἀρωγὲ, δυνατὲ, ἀπροσωπόληπτε, γενοῦ ἀντιλήπτωρ τοῦ λαοῦ σου τούτου, ὃν ἐξηγόρασας τῷ τιμίῳ τοῦ Χριστοῦ σου αἵματι· προστάτης, ἐπίκουρος, ταμίας, φύλαξ, τεῖχος ἐρυμνότατον, φραγμὸς, ἀσφάλεια, ὅτι ἐκ τῆς σῆς χειρὸς οὐδεὶς ἁρπᾶσαι δύναται· οὐδὲ γάρ ἐστι θεὸς ὥσπερ σὺ ἕτερος, ὅτι ἐν σοὶ ἡ ὑπομονὴ ἡμῶν. Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου, ὅτι ὁ λόγος ὁ σὸς ἀλήθεια ἐστίν. Ἀπροσχάριστε, ἀπαραλόγιστε, ῥῦσαι αὐτοὺς πάσης νόσου καὶ πάσης μαλακίας, παντὸς παραπτώματος, πάσης ἐπηρείας καὶ ἀπάτης, ἀπὸ φόβου ἐχθροῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου· καὶ καταξίωσον αὐτοὺς τῆς αἰωνίου ζωῆς, τῆς ἐν Χριστῷ τῷ υἱῷ σου τῷ μονογενεῖ, τῷ Θεῷ καὶ σωτῆρι ἡμῶν, δι' οὗ σοι δόξα καὶ σέβας ἐν Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Καὶ μετὰ τοῦτο λεγέτω ὁ διάκονος· Πρόσχωμεν. Καὶ ἀσπαζέσθω ὁ ἐπίσκοπος τὴν ἐκκλησίαν καὶ λεγέτω· ἡ εἰρήνη τοῦ Θεοῦ μετὰ πάντων ὑμῶν. Καὶ ὁ λαὸς ἀποκρινάσθω· καὶ μετὰ τοῦ πνεύματός σου. Καὶ ὁ διάκονος εἰπάτω πᾶσιν· ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Καὶ ἀσπαζέσθωσαν οἱ τοῦ κλήρου τὸν ἐπίσκοπον, οἱ λαϊκοὶ ἄνδρες τοὺς λαϊκοὺς, αἱ γυναῖκες τὰς γυναῖκας.

Τὰ παιδία δὲ στηκέτωσαν πρὸς τῷ βήματι. Καὶ διάκονος αὐτοῖς ἕτερος ἔστω ἐφεστὼς, ὅπως μὴ ἀτακτῶσι. Καὶ ἄλλοι διάκονοι περιπατείτωσαν καὶ σκοπείτωσαν τοὺς ἄνδρας καὶ τὰς γυναῖκας, ὅπως μὴ θόρυβός τις γένηται, καὶ μή τις νεύσῃ ἢ ψιθυρίσῃ ἢ νυστάξῃ. Οἱ δὲ διάκονοι ἱστάσθωσαν εἰς τὰς τῶν ἀνδρῶν θύρας καὶ οἱ ὑποδιάκονοι εἰς τὰς τῶν γυναικῶν, ὅπως μήτις ἐξέλθοι μήτε ἀνοιχθῇ ἡ θύρα κἂν πιστός τις ᾖ κατὰ τὸν καιρὸν τῆς ἀναφορᾶς· Εἷς δὲ ὑποδιάκονος διδότω ἀπόνιψιν χειρῶν τοῖς ἱερεῦσι, σύμβολον καθαρότητος ψυχῶν Θεῷ ἀνακειμένων.

Διάταξις Ἰακώβου τοῦ ἀδελφοῦ Ἰωάννου τοῦ Ζεβεδαίου.

Φημὶ δὴ κἀγὼ, Ἰάκωβος, ὁ ἀδελφὸς Ἰωάννου τοῦ Ζεβεδαίου, ἵν' εὐθὺς ὁ διάκονος λέγῃ· μή τις τῶν κατηχουμένων, μή τις τῶν ἀκροωμένων, μή τις τῶν ἀπίστων, μή τις τῶν ἑτεροδόξων. Οἱ τὴν πρώτην εὐχὴν εὐχόμενοι προέλθετε· τὰ παιδία προςλαμβανέσθε αἱ μητέρες· μή τις κατά τινος, μή τις ἐν ὑποκρίσει. Ὀρθοὶ πρὸς Κύριον μετὰ φόβου καὶ τρόμου ἑστῶτες ὦμεν προςφέρειν. ὧν γενομένων οἱ διάκονοι προσαγέτωσαν τὰ δῶρα τῷ ἐπισκόπῳ πρὸς τὸ θυσιαστήριον· καὶ οἱ πρεσβύτεροι ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων στηκέτωσαν ὡς ἂν μαθηταὶ παρεστῶτες διδασκάλῳ. Δύο δὲ διάκονοι ἐξ ἑκατέρων τῶν μερῶν τοῦ θυσιαστηρίου κατεχέτωσαν ἐξ ὑμένων λεπτῶν ῥιπίδιον ἢ πτερῶν ταῶνος, ἢ ὀθόνης· καὶ ἠρέμα ἀποσοβείτωσαν τὰ μικρὰ τῶν ἱπταμένων ζώων, ὅπως ἂν μὴ ἐγχρίμπτωνται εἰς τὰ κύπελλα.

Εὐξάμενος οὖν καθ' ἑαυτὸν ὁ ἀρχιερεὺς ἅμα τοῖς ἱερεῦσιν καὶ λαμπρὰν ἐσθῆτα μετενδὺς καὶ στὰς πρὸς τῷ θυσιαστηρίῳ, τὸ τρόπαιον τοῦ σταυροῦ κατὰ τοῦ μετώπου τῇ χειρὶ ποιησάμενος εἰς πάντας, εἰπάτω· ἡ χάρις τοῦ παντοκράτορος θεοῦ καὶ ἡ ἀγάπη τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος ἔστω μετὰ πάντων ὑμῶν· καὶ πάντες συμφώνως λεγέτωσαν· ὅτι καὶ μετὰ τοῦ πνεύματός σου.

Καὶ ὁ ἀρχιερεύς· ἄνω τὸν νοῦν.

Καὶ πάντες· ἔχομεν πρὸς τὸν Κύριον.

Καὶ ὁ ἀρχιερεύς· εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Καὶ πάντες· ἄξιον καὶ δίκαιον.

Καὶ ὁ ἀρχιερεὺς εἰπάτω· Ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον, πρὸ πάντων ἀνυμνεῖν σε τὸν ὄντως ὄντα Θεὸν, τὸν πρὸ τῶν γεννητῶν ὄντα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται, τὸν μόνον ἀγέννητον καὶ ἄναρχον καὶ ἀβασίλευτον, καὶ ἀδέσποτον, τὸν ἀνενδεῆ, τὸν παντὸς ἀγαθοῦ χορηγὸν, τὸν πάσης αἰτίας καὶ γενέσεως κρείττονα, τὸν πάντοτε κατὰ τὰ αὐτὰ καὶ ὡςαύτως ἔχοντα· ἐξ οὗ τὰ πάντα, καθάπερ ἔκ τινος ἀφετηρίας, εἰς τὸ εἶναι παρῆλθεν. σὺ γὰρ εἶ ἡ ἄναρχος γνῶσις, ἡ ἀΐδιος ὅρασις, ἡ ἀγέννητος ἀκοὴ, ἡ ἀδίδακτος σοφία· ὁ πρῶτος τῇ φύσει, καὶ νόμος τῷ εἶναι, καὶ κρείττων παντὸς ἀριθμοῦ. Τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν διὰ τοῦ μονογενοῦς σου υἱοῦ· αὐτὸν δὲ πρὸ πάντων αἰώνων γεννήσας βουλήσει, καὶ δυνάμει, καὶ ἀγαθότητι, ἀμεσιτεύτως, υἱὸν μονογενῆ, Λόγον Θεὸν, σοφίαν ζῶσαν, πρωτότοκον πάσης κτίσεως, ἄγγελον τῆς μεγάλης βουλῆς σου, ἀρχιερέα σὸν, βασιλέα δὲ καὶ κύριον πάσης νοητῆς καὶ αἰσθητῆς φύσεως, τὸν πρὸ πάντων, δι' οὗ τὰ πάντα· σὺ γὰρ, Θεὲ αἰώνιε, δι' αὐτοῦ τὰ πάντα πεποίηκας, καὶ δι' αὐτοῦ τῆς προςηκούσης προνοίας τὰ ὅλα ἀξιοῖς. δι' οὗ γὰρ τὸ εἶναι ἐχαρίσω, δι' αὐτοῦ καὶ τὸ εὖ εἶναι ἐδωρήσω. ὁ Θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς υἱοῦ σου· ὁ δι' αὐτοῦ πρὸ πάντων ποιήσας τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, αἰῶνάς τε καὶ θρόνους, ἀρχαγγέλους τε καὶ ἀγγέλους· καὶ μετὰ ταῦτα πάντα, ποιήσας δι' αὐτοῦ τὸν φαινόμενον τοῦτον κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ. σὺ γὰρ εἶ ὁ τὸν οὐρανὸν ὡς καμάραν στήσας καὶ ὡς δέῤῥιν ἐκτείνας, καὶ τὴν γῆν ἐπ' οὐδενὸς ἱδρύσας γνώμῃ μόνῃ· ὁ πήξας στερέωμα, καὶ

νύκτα καὶ ἡμέραν κατασκευάσας· ὁ ἐξαγαγὼν φῶς ἐκ θησαυρῶν, καὶ τῇ τούτου στολῇ ἐπαγαγὼν τὸ σκότος, εἰς ἀνάπαυλαν τῶν ἐν τῷ κόσμῳ κινουμένων ζώων· ὁ τὸν ἥλιον τάξας εἰς ἀρχὰς τῆς ἡμέρας ἐν οὐρανῷ καὶ τὴν σελήνην εἰς ἀρχὰς τῆς νυκτὸς, καὶ τὸν χορὸν τῶν ἀστέρων ἐν οὐρανῷ καταγράψας, εἰς αἶνον τῆς σῆς μεγαλοπρεπείας· ὁ ποιήσας ὕδωρ πρὸς πόσιν καὶ κάθαρσιν, ἀέρα ζωτικὸν πρὸς εἰςπνοὴν καὶ φωνῆς ἀπόδοσιν διὰ γλώττης πληττούσης τὸν ἀέρα, καὶ ἀκοὴν συνεργουμένην ὑπ᾽ αὐτοῦ ὡς ἐπαΐειν εἰςδεχομένην τὴν προςπίπτουσαν αὐτῇ λαλιάν· ὁ ποιήσας πῦρ πρὸς σκότους παραμυθίαν, πρὸς ἐνδείας ἀναπλήρωσιν, καὶ τὸ θερμαίνεσθαι ἡμᾶς καὶ φωτίζεσθαι ὑπ᾽ αὐτοῦ· ὁ τὴν μεγάλην θάλασσαν χωρίσας τῆς γῆς, καὶ τὴν μὲν ἀναδείξας πλωτὴν, τὴν δὲ ποσὶ βάσιμον ποιήσας, καὶ τὴν μὲν ζώοις μικροῖς καὶ μεγάλοις πληθύνας, τὴν δὲ ἡμέροις καὶ ἀτιθάσσοις πληρώσας, φυτοῖς τε διαφόροις στέψας, καὶ βοτάναις στεφανώσας, καὶ ἄνθεσι καλλύνας, καὶ σπέρμασι πλουτίσας· ὁ συστησάμενος ἄβυσσον, καὶ μέγα κῆτος αὐτῇ περιθεὶς, ἁλμυρῶν ὑδάτων σεσωρευμένα πελάγη, περιφράξας δὲ αὐτὴν πύλαις ἄμμου λεπτοτάτης· ὁ πνεύμασί ποτε μὲν αὐτὴν κορυφῶν εἰς ὀρέων μέγεθος, ποτὲ δὲ στρωννύων αὐτὴν εἰς πεδίον, καί ποτε μὲν ἐκμαίνων χειμῶνι, ποτὲ δὲ πραΰνων γαλήνῃ, ὡς ναυσιπόροις πλωτῆρσιν εὔκολον εἶναι πρὸς πορείαν· ὁ ποταμοῖς διαζώσας τὸν ὑπὸ σοῦ διὰ Χριστοῦ γενόμενον κόσμον, καὶ χειμάῤῥοις ἐπικλύσας, καὶ πηγαῖς ἀεννάοις μεθύσας, ὄρεσι δὲ περισφίγξας εἰς ἕδραν ἀτρεμῆ γῆς ἀσφαλεστάτην. ἐπλήρωσας γάρ σου τὸν κόσμον, καὶ διεκόσμησας αὐτὸν βοτάναις εὐόσμοις καὶ ἰασίμοις, ζώοις πολλοῖς καὶ διαφόροις, ἀλκίμοις καὶ ἀσθενεστέροις, ἐδωδίμοις καὶ ἐνεργοῖς, ἡμέροις καὶ ἀτιθάσσοις· ἑρπετῶν συριγμοῖς, πτηνῶν ποικίλων κλαγγαῖς· ἐνιαυτῶν κύκλοις, μηνῶν καὶ ἡμερῶν ἀριθ-

μοῖς, τροπῶν τάξεσι, νεφῶν ὀμβροτόκων διαδρομαῖς, εἰς καρπῶν γονὰς, καὶ ζώων σύστασιν, σταθμὸν ἀνέμων διαπνεόντων, ὅτε προσταχθῶσι παρὰ σοῦ, τῶν φυτῶν καὶ τῶν βοτανῶν τὸ πλῆθος. καὶ οὐ μόνον τὸν κόσμον ἐδημιούργησας, ἀλλὰ καὶ τὸν κοσμοπολίτην ἄνθρωπον ἐν αὐτῷ ἐποίησας, κόσμου κόσμον αὐτὸν ἀναδείξας. εἶπας γὰρ τῇ σῇ σοφίᾳ· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ. Διὸ καὶ πεποίηκας αὐτὸν ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος σκεδαστοῦ· τῆς μὲν ἐκ τοῦ μὴ ὄντος, τοῦ δὲ ἐκ τῶν τεσσάρων στοιχείων· καὶ δέδωκας αὐτῷ, κατὰ μὲν τὴν ψυχὴν, τὴν λογικὴν διάγνωσιν, εὐσεβείας καὶ ἀσεβείας διάκρισιν, δικαίου καὶ ἀδίκου παρατήρησιν· κατὰ δὲ τὸ σῶμα τὴν πένταθλον ἐχαρίσω αἴσθησιν, καὶ τὴν μεταβατικὴν κίνησιν. σὺ γὰρ Θεὲ παντοκράτορ, διὰ Χριστοῦ παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς ἐφύτευσας, παντοίων φυτῶν ἐδωδίμων κόσμῳ, καὶ ἐν αὐτῷ ὡς ἂν ἐν ἑστίᾳ πολυτελεῖ εἰςήγαγες αὐτόν· κᾂν τῷ ποιεῖν νόμον δέδωκας αὐτῷ ἔμφυτον, ὅπως οἴκοθεν καὶ παρ' ἑαυτοῦ ἔχοι τὰ σπέρματα τῆς θεογνωσίας. εἰςαγαγὼν δὲ εἰς τὸν τῆς τρυφῆς παράδεισον, πάντων μὲν ἀνῆκας αὐτῷ τὴν ἐξουσίαν πρὸς μετάληψιν, ἑνὸς δὲ μόνου τὴν γεῦσιν ἀπεῖπας ἐπ' ἐλπίδι κρειττόνων, ἵνα ἐὰν φυλάξῃ τὴν ἐντολὴν, μισθὸν ταύτης τὴν ἀθανασίαν κομίσηται· ἀμελήσαντα δὲ τῆς ἐντολῆς καὶ γευσάμενον ἀπηγορευμένου καρποῦ ἀπάτῃ ὄφεως καὶ συμβουλίᾳ γυναικὸς, τοῦ μὲν παραδείσου δικαίως ἔξωσας αὐτὸν, ἀγαθότητι δὲ εἰς τὸ παντελὲς ἀπολλύμενον οὐχ ὑπερεῖδες· σὸν γὰρ ἦν δημιούργημα· ἀλλὰ καθυποτάξας αὐτῷ τὴν κτίσιν, δέδωκας αὐτῷ οἰκείοις ἱδρῶσι καὶ πόνοις πορίζειν ἑαυτῷ τὴν τροφὴν, σοῦ πάντα φύοντος καὶ αὔξοντος καὶ πεπαίνοντος· χρόνῳ δὲ πρὸς ὀλίγον αὐτὸν κοιμίσας,

ὅρκῳ εἰς παλιγγενεσίαν ἐκάλεσας· ὅρον θανάτου λύσας, ζωὴν ἐξ ἀναστάσεως ἐπηγγείλω. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοὺς ἐξ αὐτοῦ εἰς πλῆθος ἀνάριθμον χέας, τοὺς ἐμμείναντάς σοι ἐδόξασας, τοὺς δὲ ἀποστάντας σου ἐκόλασας. Καὶ τοῦ μὲν Ἀβὲλ ὡς ὁσίου προςδεξάμενος τὴν θυσίαν, τοῦ δὲ ἀδελφοκτόνου Καῒν ἀποστραφεὶς τὸ δῶρον, ὡς ἐναγοῦς. Καὶ πρὸς τούτοις τὸν Σὴθ, καὶ τὸν Ἐνὼχ προςελάβου, καὶ τὸν Ἐνὼχ μετατέθεικας. σὺ γὰρ εἶ ὁ δημιουργὸς τῶν ἀνθρώπων, καὶ τῆς ζωῆς χορηγὸς, καὶ τῆς ἐνδείας πληρωτὴς, καὶ τῶν νόμων δοτὴρ, καὶ τῶν φυλαττόντων αὐτοὺς μισθαποδότης, καὶ τῶν παραβαινόντων αὐτοὺς ἔκδικος· ὁ τὸν μέγαν κατακλυσμὸν ἐπαγαγὼν τῷ κόσμῳ διὰ τὸ πλῆθος τῶν ἀσεβησάντων, καὶ τὸν δίκαιον Νῶε ῥυσάμενος ἐκ τοῦ κατακλυσμοῦ ἐν λάρνακι σὺν ὀκτὼ ψυχαῖς, τέλος μὲν τῶν παρῳχηκότων, ἀρχὴν δὲ τῶν μελλόντων ἐπιγίνεσθαι. ὁ τὸ φοβερὸν πῦρ κατὰ τῆς Σοδομηνῆς πενταπόλεως ἐξάψας, καὶ γῆν καρποφόρον εἰς ἅλμην θέμενος ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ, καὶ τὸν ὅσιον Λὼτ ἐξαρπάσας τοῦ ἐμπρησμοῦ. σὺ εἶ ὁ τὸν Ἀβραὰμ ῥυσάμενος προγονικῆς ἀσεβείας, καὶ κληρονόμον τοῦ κόσμου καταστήσας, καὶ ἐμφανίσας αὐτῷ τὸν Χριστόν σου· ὁ τὸν Μελχισεδὲκ ἀρχιερέα τῆς λατρείας προχειρισάμενος· ὁ τὸν πολύτλαν θεράποντά σου Ἰὼβ νικητὴν τοῦ ἀρχεκάκου ὄφεως ἀναδείξας· ὁ τὸν Ἰσαὰκ ἐπαγγελίας υἱὸν ποιησάμενος· ὁ τὸν Ἰακὼβ πατέρα δώδεκα παίδων, καὶ τοὺς ἐξ αὐτοῦ εἰς πλῆθος χέας, καὶ εἰςαγαγὼν εἰς Αἴγυπτον ἐν ἑβδομήκοντα πέντε ψυχαῖς. σὺ, Κύριε, Ἰωσὴφ οὐχ ὑπερεῖδες· ἀλλὰ μισθὸν τῆς διὰ σὲ σωφροσύνης ἔδωκας αὐτῷ τὸ τῶν Αἰγυπτίων ἄρχειν. σὺ Κύριε, Ἑβραίους ὑπὸ Αἰγυπτίων καταπονουμένους οὐ περιεῖδες, διὰ τὰς πρὸς τοὺς πατέρας αὐτῶν ἐπαγγελίας· ἀλλ' ἐῤῥύσω, κολάσας Αἰγυπτίους. παραφθει-

ράντων δὲ τῶν ἀνθρώπων τὸν φυσικὸν νόμον, καὶ τὴν κτίσιν, ποτὲ μὲν αὐτόματον νομισάντων, ποτὲ δὲ πλεῖον ἢ δεῖ τιμησάντων, καί σοι τῷ Θεῷ τῶν πάντων συνταττόντων· οὐκ εἴασας πλανᾶσθαι, ἀλλὰ ἀναδείξας τὸν ἅγιόν σου θεράποντα Μοϋσῆν, δι' αὐτοῦ πρὸς βοήθειαν τοῦ φυσικοῦ τὸν γραπτὸν νόμον δέδωκας, καὶ τὴν κτίσιν ἔδειξας σὸν ἔργον εἶναι, τὴν δὲ πολύθεον πλάνην ἐξώρισας· τὸν Ἀαρὼν καὶ τοὺς ἐξ αὐτοῦ ἱερατικῇ τιμῇ ἐδόξασας, Ἑβραίους ἁμαρτόντας ἐκόλασας, ἐπιστρέφοντας ἐδέξω· τοὺς Αἰγυπτίους δεκαπλήγῳ ἐτιμωρήσω· θάλασσαν διελὼν Ἰσραηλίτας διεβίβασας· Αἰγυπτίους ἐπιδιώξαντας ὑποβρυχίους ἀπώλεσας· ξύλῳ πικρὸν ὕδωρ ἐγλύκανας· ἐκ πέτρας ἀκροτόμου ὕδωρ ἀνέχεας· ἐξ οὐρανοῦ τὸ μάννα ὗσας· τροφὴν ἐξ ἀέρος ὀρτυγομήτραν· στῦλον πυρὸς τὴν νύκτα πρὸς φωτισμὸν, καὶ στύλον νεφέλης ἡμέραν πρὸς σκιασμὸν θάλπους. τὸν Ἰησοῦν στρατηγὸν ἀναδείξας, ἑπτὰ ἔθνη Χαναναίων δι' αὐτοῦ καθεῖλες, Ἰορδάνην, διέῤῥηξας τοὺς ποταμοὺς Ἠθὰμ ἐξέρανας, τείχη κατέῤῥιψας ἄνευ μηχανημάτων καὶ χειρὸς ἀνθρωπίνης. Ὑπὲρ ἁπάντων σοι ἡ δόξα, δέσποτα παντοκράτορ. σὲ προςκυνοῦσιν ἀνάριθμοι στρατιαὶ ἀγγέλων, ἀρχαγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν, δυνάμεων, στρατιῶν αἰωνίων· τὰ Χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ, ταῖς μὲν δυσὶ κατακαλύπτοντα τοὺς πόδας, ταῖς δὲ δυσὶ τὰς κεφαλὰς, ταῖς δὲ δυσὶ πετόμενα, καὶ λέγοντα ἅμα χιλίαις χιλιάσιν ἀρχαγγέλων, καὶ μυρίαις μυριάσιν ἀγγέλων, ἀκαταπαύστως καὶ ἀσιγήτως βοώσαις· καὶ πᾶς ὁ λαὸς ἅμα εἰπάτω· ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ· εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν.

Καὶ ὁ ἀρχιερεὺς ἑξῆς λεγέτω· Ἅγιος γὰρ εἶ ὡς ἀληθῶς, καὶ πανάγιος, ὕψιστος καὶ ὑπερυψούμενος εἰς

τοὺς αἰῶνας. ἅγιος δὲ καὶ ὁ μονογενής σου υἱὸς ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς ὁ Χριστὸς, ὃς εἰς πάντα ὑπηρετησάμενός σοι τῷ Θεῷ αὐτοῦ καὶ πατρὶ, εἴς τε δημιουργίαν διάφορον, καὶ πρόνοιαν κατάλληλον, οὐ περιεῖδε τὸ γένος τῶν ἀνθρώπων ἀπολλύμενον, ἀλλὰ μετὰ φυσικὸν νόμον, μετὰ νομικὴν παραίνεσιν, μετὰ προφητικοὺς ἐλέγχους καὶ τὰς τῶν ἀγγέλων ἐπιστασίας, παραφθειρόντων σὺν τῷ θετῷ καὶ τὸν φυσικὸν νόμον καὶ τῆς μνήμης ἐκβαλλόντων τὸν κατακλυσμὸν, τὴν ἐκπύρωσιν, τὰς κατ᾽ Αἰγυπτίων πληγὰς, τὰς κατὰ Παλαιστηνῶν σφαγὰς, καὶ μελλόντων ὅσον οὐδέπω ἀπόλλυσθαι πάντων, εὐδόκησεν αὐτὸς γνώμῃ σῇ ὁ δημιουργὸς ἀνθρώπου, ἄνθρωπος γενέσθαι, ὁ νομοθέτης ὑπὸ νόμους, ὁ ἀρχιερεὺς ἱερεῖον, ὁ ποιμὴν πρόβατον, καὶ ἐξευμενίσατό σε τὸν ἑαυτοῦ Θεὸν καὶ πατέρα, καὶ τῷ κόσμῳ κατήλλαξε, καὶ τῆς ἐπικειμένης ὀργῆς τοὺς πάντας ἠλευθέρωσε, γενόμενος ἐκ παρθένου, γενόμενος ἐν σαρκὶ, ὁ Θεὸς Λόγος, ὁ ἀγαπητὸς υἱὸς, ὁ πρωτότοκος πάσης κτίσεως, κατὰ τὰς περὶ αὐτοῦ ὑπ᾽ αὐτοῦ προῤῥηθείσας προφητείας ἐκ σπέρματος Δαβὶδ, καὶ Ἀβραὰμ, καὶ φυλῆς Ἰούδα· καὶ γέγονεν ἐν μήτρᾳ παρθένου ὁ διαπλάσσων πάντας τοὺς γενομένους, καὶ ἐνσαρκώθη ὁ ἄσαρκος, ὁ ἀχρόνως γεννηθεὶς ἐν χρόνῳ γεγέννηται· πολιτευσάμενος ὁσίως καὶ παιδεύσας ἐνθέσμως, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐξ ἀνθρώπων ἀπέλασας, σημεῖά τε καὶ τέρατα ἐν τῷ λαῷ ποιήσας· τροφῆς καὶ ποτοῦ καὶ ὕπνου μεταλαβὼν, ὁ τρέφων πάντας τοὺς χρήζοντας τροφῆς, καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας· ἐφανέρωσέ σου τὸ ὄνομα τοῖς ἀγνοοῦσιν αὐτὸ, τὴν ἄγνοιαν ἐφυγάδευσε, τὴν εὐσέβειαν ἀνεζωπύρωσε, τὸ θέλημά σου ἐπλήρωσε, τὸ ἔργον ὃ ἔδωκας αὐτῷ ἐτελείωσε· καὶ ταῦτα πάντα κατορθώσας, χερσὶν ἀνόμων κατασχεθεὶς, ἱερέων καὶ ἀρχιερέων ψευδωνύμων καὶ λαοῦ παρανόμου, προδοσίᾳ τοῦ τὴν κακίαν νοσήσαντος,

καὶ πολλὰ παθὼν ὑπ' αὐτῶν, καὶ πᾶσαν ἀτιμίαν ὑποστὰς τῇ συγχωρήσει, παραδοθεὶς Πιλάτῳ τῷ ἡγεμόνι, καὶ κριθεὶς ὁ κριτὴς, καὶ κατακριθεὶς ὁ σωτὴρ, σταυρῷ προςηλώθη ὁ ἀπαθὴς, καὶ ἀπέθανεν ὁ τῇ φύσει ἀθάνατος, καὶ ἐτάφη ὁ ζωοποιὸς, ἵνα πάθους λύσῃ καὶ θανάτου ἐξέληται τούτους τοὺς δι' οὓς παρεγένετο, καὶ ῥήξῃ τὰ δεσμὰ τοῦ διαβόλου, καὶ ῥύσηται τοὺς ἀνθρώπους ἐκ τῆς ἀπάτης αὐτοῦ. καὶ ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ· καὶ τεσσαράκοντα ἡμέρας ἐνδιατρίψας τοῖς μαθηταῖς, ἀνελήφθη εἰς τοὺς οὐρανοὺς, καὶ ἐκαθέσθη ἐκ δεξιῶν σου τοῦ Θεοῦ καὶ πατρὸς αὐτοῦ.

Μεμνημένοι οὖν ὧν δι' ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι, Θεὲ παντοκράτορ, οὐχ ὅσον ὀφειλομεν, ἀλλ' ὅσον δυνάμεθα, καὶ τὴν διάταξιν αὐτοῦ πληροῦμεν. ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο, λαβὼν ἄρτον ταῖς ἁγίαις καὶ ἀμώμοις αὐτοῦ χερσὶ, καὶ ἀναβλέψας πρὸς σὲ τὸν Θεὸν αὐτοῦ καὶ πατέρα, καὶ κλάσας, ἔδωκε τοῖς μαθηταῖς, εἰπών· τοῦτο τὸ μυστήριον τῆς καινῆς διαθήκης· λάβετε ἐξ αὐτοῦ, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ περὶ πολλῶν θρυπτόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὡσαύτως καὶ τὸ ποτήριον κεράσας ἐξ οἴνου καὶ ὕδατος, καὶ ἁγιάσας, ἐπέδωκεν αὐτοῖς, λέγων· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ πίνητε τὸ ποτήριον τοῦτο, τὸν θάνατον τὸν ἐμὸν καταγγέλλετε, ἄχρις ἂν ἔλθω.

Μεμνημένοι τοίνυν τοῦ πάθους αὐτοῦ καὶ τοῦ θανάτου, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἐπανόδου, καὶ τῆς μελλούσης αὐτοῦ δευτέρας παρουσίας, ἐν ᾗ ἔρχεται μετὰ δόξης καὶ δυνάμεως, κρῖναι ζῶντας, καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προςφέρομέν σοι τῷ βασιλεῖ καὶ Θεῷ, κατὰ τὴν αὐτοῦ

διάταξιν, τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο, εὐχαριστοῦντές σοι δι' αὐτοῦ, ἐφ' οἷς κατηξίωσας ἡμᾶς ἑστάναι ἐνώπιόν σου, καὶ ἱερατεύειν σοι· καὶ ἀξιοῦμέν σε, ὅπως εὐμενῶς ἐπιβλέψῃς ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα ἐνώπιόν σου, σὺ ὁ ἀνενδεὴς Θεὸς, καὶ εὐδοκήσῃς ἐπ' αὐτοῖς εἰς τιμὴν τοῦ Χριστοῦ σου, καὶ καταπέμψῃς τὸ ἅγιόν σου Πνεῦμα ἐπὶ τὴν θυσίαν ταύτην, τὸν μάρτυρα τῶν παθημάτων τοῦ κυρίου Ἰησοῦ, ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦτον σῶμα τοῦ Χριστοῦ σου, καὶ τὸ ποτήριον τοῦτο αἷμα τοῦ Χριστοῦ σου, ἵνα οἱ μεταλαβόντες αὐτοῦ βεβαιωθῶσι πρὸς εὐσεβείαν, ἀφέσεως ἁμαρτημάτων τύχωσι, τοῦ διαβόλου καὶ τῆς πλάνης αὐτοῦ ῥυσθῶσι, Πνεύματος ἁγίου πληρωθῶσιν, ἄξιοι τοῦ Χριστοῦ σου γένωνται, ζωῆς αἰωνίου τύχωσι, σοῦ καταλλαγέντος αὐτοῖς, δέσποτα παντοκράτορ.

Ἔτι δεόμεθά σου, Κύριε, καὶ ὑπὲρ τῆς ἁγίας σου ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου, ὅπως αὐτὴν διαφυλάξῃς ἄσειστον καὶ ἀκλυδώνιστον, ἄχρι τῆς συντελείας τοῦ αἰῶνος. καὶ ὑπὲρ πάσης ἐπισκοπῆς τῆς ὀρθοτομούσης τὸν λόγον τῆς ἀληθείας. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῆς ἐμῆς τοῦ προςφέροντός σοι οὐδενίας, καὶ ὑπὲρ παντὸς τοῦ πρεσβυτερίου, ὑπὲρ τῶν διακόνων καὶ παντὸς τοῦ κλήρου, ἵνα πάντας σοφίσας Πνεύματος ἁγίου πληρώσῃς. ἔτι παρακαλοῦμέν σε, Κύριε, ὑπὲρ τοῦ βασιλέως, καὶ τῶν ἐν ὑπεροχῇ, καὶ παντὸς τοῦ στρατοπέδου, ἵνα εἰρηνεύωνται τὰ πρὸς ἡμᾶς· ὅπως ἐν ἡσυχίᾳ καὶ ὁμονοίᾳ διάγοντες τὸν πάντα χρόνον τῆς ζωῆς ἡμῶν, δοξάζωμέν σε διὰ Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν. ἔτι προςφέρομέν σοι καὶ ὑπὲρ πάντων τῶν ἀπὸ αἰῶνος εὐαρεστησάντων σοι ἁγίων, πατριαρχῶν, προφητῶν, δικαίων, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ὑπο-

διακόνων, ἀναγνωστῶν, ψαλτῶν, παρθένων, χηρῶν, λαϊκῶν καὶ πάντων, ὧν αὐτὸς ἐπίστασαι τὰ ὀνόματα. ἔτι προσφέρομέν σοι ὑπὲρ τοῦ λαοῦ τούτου, ἵνα ἀναδείξῃς αὐτὸν εἰς ἔπαινον τοῦ Χριστοῦ σου βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον. ὑπὲρ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ, ὑπὲρ τῶν χηρῶν τῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν σεμνοῖς γάμοις καὶ τεκνογονίαις, ὑπὲρ τῶν νηπίων τοῦ λαοῦ σου, ὅπως μηδένα ἡμῶν ἀπόβλητον ποιήσῃς. ἔτι ἀξιοῦμέν σε καὶ ὑπὲρ τῆς πόλεως ταύτης καὶ τῶν ἐνοικούντων, ὑπὲρ τῶν ἐν ἀῤῥωστίαις, ὑπὲρ τῶν ἐν πικρᾷ δουλείᾳ, ὑπὲρ τῶν ἐν ἐξορίαις, ὑπὲρ τῶν ἐν δημεύσει, ὑπὲρ πλεόντων, καὶ ὁδοιπορούντων, ὅπως ἐπίκουρος γένῃ, πάντων βοηθὸς καὶ ἀντιλήπτωρ. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν μισούντων ἡμᾶς καὶ διωκόντων ἡμᾶς διὰ τὸ ὄνομά σου, ὑπὲρ τῶν ἔξω ὄντων καὶ πεπλανημένων, ὅπως ἐπιστρέψῃς αὐτοὺς εἰς ἀγαθὸν, καὶ τὸν θυμὸν αὐτῶν πραΰνῃς. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν κατηχουμένων τῆς ἐκκλησίας, καὶ ὑπὲρ τῶν χειμαζομένων ὑπὸ τοῦ ἀλλοτρίου, καὶ ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν ἡμῶν· ὅπως τοὺς μὲν τελειώσῃς ἐν τῇ πίστει, τοὺς δὲ καθαρίσῃς ἐκ τῆς ἐνεργείας τοῦ πονηροῦ, τῶν δὲ τὴν μετάνοιαν προσδέξῃ, καὶ συγχωρήσῃς καὶ αὐτοῖς καὶ ἡμῖν τὰ παραπτώματα ἡμῶν. ἔτι προσφέρομέν σοι καὶ ὑπὲρ τῆς εὐκρασίας τοῦ ἀέρος καὶ τῆς εὐφορίας τῶν καρπῶν· ὅπως ἀνελλειπῶς μεταλαμβάνοντες τῶν παρὰ σοῦ ἀγαθῶν, αἰνῶμέν σε ἀπαύστως, τὸν διδόντα τροφὴν πάσῃ σαρκί. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν δι' εὔλογον αἰτίαν ἀπόντων, ὅπως ἅπαντας ἡμᾶς διατηρήσας ἐν τῇ εὐσεβείᾳ, ἐπισυναγάγῃς ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ σου, τοῦ Θεοῦ πάσης αἰσθητῆς καὶ νοητῆς φύσεως, τοῦ βασιλέως ἡμῶν, ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους· ὅτι σοι πᾶσα δόξα, σέβας καὶ εὐχαριστία, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι,

καὶ νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀνελλειπεῖς καὶ ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Καὶ πᾶς ὁ λαὸς λεγέτω· *ἀμήν.*

Καὶ ὁ ἐπίσκοπος εἰπάτω· *ἡ εἰρήνη τοῦ θεοῦ εἴη μετὰ πάντων ὑμῶν.*

Καὶ πᾶς ὁ λαὸς λεγέτω· *καὶ μετὰ τοῦ πνεύματός σου.*

Καὶ ὁ διάκονος κηρυσσέτω πάλιν· *Ἔτι καὶ ἔτι δεηθῶμεν τοῦ θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ ὑπὲρ τοῦ δώρου προσκομισθέντος Κυρίῳ τῷ Θεῷ· ὅπως ὁ ἀγαθὸς Θεὸς προσδέξηται αὐτὸ διὰ τῆς μεσιτείας τοῦ Χριστοῦ αὐτοῦ εἰς τὸ ἐπουράνιον αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας.*

Ὑπὲρ τῆς ἐκκλησίας ταύτης καὶ τοῦ λαοῦ δεηθῶμεν· ὑπὲρ πάσης ἐπισκοπῆς, παντὸς πρεσβυτερίου, πάσης τῆς ἐν Χριστῷ διακονίας καὶ ὑπηρεσίας, παντὸς τοῦ πληρώματος τῆς ἐκκλησίας δεηθῶμεν, ὅπως ὁ κύριος πάντας διατηρήσῃ καὶ διαφυλάξῃ.

Ὑπὲρ βασιλέων καὶ τῶν ἐν ὑπεροχῇ δενθῶμεν, ἵνα εἰρηνεύωνται τὰ πρὸς ἡμᾶς· ὅπως ἤρεμον καὶ ἡσύχιον βίον ἔχοντες διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Τῶν ἁγίων μαρτύρων μνημονεύσωμεν, ὅπως κοινωνοὶ γενέσθαι τῆς ἀθλήσεως αὐτῶν καταξιωθῶμεν.

Ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων.

Ὑπὲρ τῆς εὐκρασίας τῶν ἀέρων καὶ τελεσφορίας τῶν καρπῶν δεηθῶμεν.

Ὑπὲρ τῶν νεοφωτίστων δεηθῶμεν, ὅπως βεβαιωθῶσιν ἐν τῇ πίστει. Πάντες ὑπ' ἄλλων παρακαλέσθωσαν. Ἀνάστησον ἡμᾶς ὁ θεὸς ἐν τῇ χάριτί σου· ἀναστάντες ἑαυτοὺς τῷ θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ παραθώμεθα.

Καὶ ὁ ἐπίσκοπος λεγέτω· *ὁ Θεὸς ὁ μέγας καὶ μεγαλώνυμος, ὁ μέγας τῇ βουλῇ καὶ κραταιὸς τοῖς ἔργοις· ὁ Θεὸς καὶ πατὴρ τοῦ ἁγίου παιδός σου Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸ ποίμνιόν σου τοῦτο, ὃ δι' αὐτοῦ ἐξελέξω εἰς δόξαν τοῦ ὀνόματός*

σου, καὶ ἁγιάσας ἡμῶν τὸ σῶμα καὶ τὴν ψυχὴν καταξίωσον καθαροὺς γενομένους ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, τυχεῖν τῶν προκειμένων ἀγαθῶν· καὶ μηδένα ἡμῶν ἀνάξιον κρίνῃς, ἀλλὰ βοηθὸς ἡμῶν γενοῦ, ἀντιλήπτωρ, ὑπερασπιστὴς, διὰ τοῦ Χριστοῦ σου, μεθ' οὗ σοι δόξα, τιμὴ, αἶνος, δοξολογία, εὐχαριστία, καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

Καὶ μετὰ τὸ πάντας εἰπεῖν· ἀμήν, ὁ διάκονος λεγέτω· πρόσχωμεν· καὶ ὁ ἐπίσκοπος προςφωνήσατω τῷ λαῷ οὕτω·

ΤΑ ἍΓΙΑ ΤΟΙΣ ἉΓΙΟΙΣ.

Καὶ ὁ λαὸς ὑπακουέτω· εἷς ἅγιος, εἷς κύριος, εἷς Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρὸς, εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Ὡσαννὰ τῷ υἱῷ Δαβὶδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος καὶ ἐπεφάνη ἡμῖν. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Καὶ μετὰ τοῦτο μεταλαμβανέτω ὁ ἐπίσκοπος· ἔπειτα οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι καὶ ὑποδίακονοι καὶ οἱ ἀναγνῶσται καὶ οἱ ψάλται καὶ οἱ ἀσκηταὶ, καὶ ἐν ταῖς γυναιξὶν αἱ διακόνισσαι καὶ αἱ παρθένοι καὶ αἱ χῆραι, εἶτα τὰ παιδία, καὶ τότε πᾶς ὁ λαὸς κατὰ τάξιν καὶ μετὰ αἰδοῦς καὶ εὐλαβείας ἄνευ θορύβου.

Καὶ ὁ μὲν ἐπίσκοπος διδότω τὴν προσφορὰν, λέγων·

Σῶμα Χριστοῦ.

Καὶ ὁ δεχόμενος λεγέτω·

Ἀμήν.

Ὁ δὲ διάκονος κατεχέτω τὸ ποτήριον καὶ ἐπιδιδοὺς λεγέτω·

Αἷμα Χριστοῦ, ποτήριον ζωῆς.

Καὶ ὁ πίνων λεγέτω·

Ἀμὴν.

Ψαλμὸς δὲ λεγέσθω τριακοστὸς τρίτος ἐν τῷ μεταλαμβάνειν πάντας τοὺς λοιπούς· καὶ ὅταν πάντες μεταλάβωσι καὶ πᾶσαι, λαβόντες οἱ διάκονοι τὰ περισσεύσαντα εἰσφερέτωσαν εἰς τὰ παστοφόρια.

Καὶ *ὁ διάκονος λεγέτω, παυσαμένου του ψάλλοντος·* Μεταλαβόντες τοῦ τιμίου σώματος, καὶ τοῦ τιμίου αἵματος τοῦ Χριστοῦ, εὐχαριστήσωμεν τῷ καταξιώσαντι ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων αὐτοῦ μυστηρίων, καὶ παρακαλέσωμεν, μὴ εἰς κρίμα, ἀλλ' εἰς σωτηρίαν ἡμῖν γενέσθαι, εἰς ὠφέλειαν ψυχῆς καὶ σώματος, εἰς φυλακὴν εὐσεβείας, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος· ἐγειρώμεθα. ἐν χάριτι Χριστοῦ ἑαυτοὺς τῷ Θεῷ, τῷ μόνῳ ἀγεννήτῳ Θεῷ, καὶ τῷ Χριστῷ αὐτοῦ παραθώμεθα.

Καὶ *ὁ ἐπίσκοπος εὐχαριστείτω.* Δέσποτα ὁ Θεὸς ὁ παντοκράτορ, ὁ πατὴρ τοῦ Χριστοῦ σου τοῦ εὐλογητοῦ παιδὸς, ὁ τῶν μετ' εὐθύτητος ἐπικαλουμένων σε ἐπήκοος, ὁ καὶ τῶν σιωπώντων ἐπιστάμενος τὰς ἐντεύξεις· εὐχαριστοῦμέν σοι, ὅτι κατηξίωσας ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων σου μυστηρίων, ἃ παρέσχου ἡμῖν, εἰς πληροφορίαν τῶν καλῶς ἐγνωσμένων, εἰς φυλακὴν τῆς εὐσεβείας, εἰς ἄφεσιν πλημμελημάτων· ὅτι τὸ ὄνομα τοῦ Χριστοῦ σου ἐπικέκληται ἐφ' ἡμᾶς, καί σοι προςῳκειώμεθα. ὁ χωρίσας ἡμᾶς τῆς τῶν ἀσεβῶν κοινωνίας, ἕνωσον ἡμᾶς μετὰ τῶν καθωσιωμένων σοι, στήριξον ἡμᾶς ἐν τῇ ἀληθείᾳ τῇ τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσει· τὰ ἀγνοούμενα ἀποκάλυψον, τὰ λείποντα προςαναπλήρωσον, τὰ ἐγνωσμένα κράτυνον· τοὺς ἱερεῖς ἀμώμους διαφύλαξον ἐν τῇ λατρείᾳ σου· τοὺς βασιλεῖς διατήρησον ἐν εἰρήνῃ, τοὺς ἄρχοντας ἐν δικαιοσύνῃ, τοὺς ἀέρας ἐν εὐκρασίᾳ, τοὺς καρποὺς ἐν εὐφορίᾳ, τὸν κόσμον ἐν παναλκεῖ προνοίᾳ. τὰ ἔθνη τὰ πολεμικὰ πράϋνον· τὰ πεπλανημένα ἐπίστρεψον, τὸν λαόν σου

ἁγίασον· τοὺς ἐν παρθενίᾳ διατήρησον· τοὺς ἐν γάμῳ διαφύλαξον ἐν πίστει· τοὺς ἐν ἁγνείᾳ ἐνδυνάμωσον· τὰ νήπια ἅδρυνον· τοὺς νεοτελεῖς βεβαίωσον· τοὺς ἐν κατηχήσει παίδευσον, καὶ τῆς μυήσεως ἀξίους ἀνάδειξον· καὶ πάντας ἡμᾶς ἐπισυνάγαγε εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας, καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Καὶ ὁ διάκονος λεγέτω· Τῷ Θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ κλίνατε καὶ εὐλογεῖσθε.

Καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω, λέγων· Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀληθινὸς καὶ ἀσύγκριτος, ὁ πανταχοῦ ὢν καὶ τοῖς πᾶσι παρὼν καὶ ἐν οὐδενὶ ὡς ἐνόντι ὑπάρχων, ὁ τόποις μὴ περιγραφόμενος, ὁ χρόνοις μὴ παλαιούμενος, ὁ αἰῶσι μὴ περατούμενος, ὁ λόγοις μὴ παραγόμενος, ὁ γενέσει μὴ ὑποκείμενος, ὁ φυλακῆς μὴ δεόμενος, ὁ φθορᾶς ἀνώτερος, ὁ τροπῆς ἀνεπίδεκτος, ὁ φύσει ἀναλλοίωτος, ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὁ τῇ φύσει ἀόρατος, ὁ γνωστὸς πάσαις ταῖς μετ' εὐνοίας ἐκζητούσαις σε λογικαῖς φύσεσιν, ὁ καταλαμβανόμενος ὑπὸ τῶν ἐν εὐνοίᾳ ἐπιζητούντων σε· ὁ Θεὸς Ἰσραὴλ, τοῦ ἀληθινῶς ὁρῶντος, τοῦ εἰς Χριστὸν πιστεύσαντος λαοῦ σου· εὐμενὴς γενόμενος ἐπάκουσόν μου διὰ τὸ ὄνομά σου, καὶ εὐλόγησον τοὺς σοι κεκλικότας τοὺς ἑαυτῶν αὐχένας, καὶ δὸς αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν τὰ ἐπὶ συμφέροντι, καὶ μηδένα αὐτῶν ἀπόβλητον ποιήσῃς ἐκ τῆς βασιλείας σου, ἀλλὰ ἁγίασον αὐτοὺς, φρούρησον, σκέπασον, ἀντιλαβοῦ, ῥῦσαι τοῦ ἀλλοτρίου, καὶ παντὸς ἐχθροῦ, τοὺς οἴκους αὐτῶν φύλαξον, τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους φρούρησον· ὅτι σοι δόξα, αἶνος, μεγαλοπρέπεια, σέβας, προσκύνησις, καὶ τῷ σῷ παιδὶ Ἰησοῦ τῷ Χριστῷ σου

τῷ κυρίῳ ἡμῶν καὶ Θεῷ καὶ βασιλεῖ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Καὶ ὁ διάκονος ἐρεῖ· Ἀπολύεσθε ἐν εἰρήνῃ.

Ταῦτα περὶ τῆς μυστικῆς λατρείας διατασσόμεθα ἡμεῖς οἱ ἀπόστολοι ὑμῖν τοῖς ἐπισκόποις καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις.

THE LITURGY

OF

SAINT CHRYSOSTOM,

ACCORDING TO THE USE OF THE

Great Church

(CONSTANTINOPLE),

AND THE

Holy Mountain

(ATHOS).

EDITED BY THE

REV. J. M. NEALE, M.A.,

WARDEN OF SACKVILLE COLLEGE.

LONDON:

J. T. HAYES, LYALL PLACE, EATON SQUARE.

1858.

PREFACE.

The Liturgy of S. Chrysostom, derived and abbreviated from that of S. Basil, as the latter from that of S. James, is in use through the four Patriarchates and Russia, except on the few days on which S. Basil's Liturgy is said.

It is thus the least ancient of the Greek Liturgies; but it has the advantage of being a living, and not, as the others, a dead, rite.

The following pages are a reprint from the Venice Edition of 1840, corrected by a later Edition at Constantinople. I have, however, always given *σοφία*, in the exclamations of the Deacon, instead of the modern *σοφίᾳ*.

I have not added any notes. They will be found at great length in the forthcoming Translation of this Liturgy; and to have given them in duplicate would only have been to increase the expense.

Sackville College:

Nov. 8, 1858.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Εὐχὴ τῆς Προθέσεως.

Ὁ ΘΕΟΣ, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον Ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν, καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας σωτῆρα, καὶ λυτρωτὴν, καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον· μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ Ἱερουργίᾳ τῶν θείων σου Μυστηρίων. Ὅτι ἡγίασται, καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος· Εὐλόγησον Δέσποτα. Ὁ Ἱερεὺς, ἐκφώνως.

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας

τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου, καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ Θεοφυλάκτων Βασιλέων ἡμῶν, παντὸς τοῦ Παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως, καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοὶ Κύριε.

Ὁ Ἱερεύς· ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός. Ἀμήν.

Καὶ ψάλλεται τὸ πρῶτον Ἀντίφωνον παρὰ τῶν Ψαλτῶν· καὶ ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν τοῦ Ἀντιφώνου· ὁ δὲ Διάκονος προσκυνήσας μεθίσταται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ ἀπελθὼν ἵσταται ἐνώπιον τῆς Εἰκόνος τῆς Θεοτόκου, βλέπων πρὸς τὴν Εἰκόνα τοῦ Χριστοῦ, κρατῶν καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός.

Εὐχὴ Ἀντιφώνου α΄.

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτὸς Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον Οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν, καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου.

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ Ἀντιφώνου, ἐλθὼν ὁ Διάκονος, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, καὶ προσκυνήσας, λέγει·

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεός.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ἐκφώνησις.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ

τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ψάλλεται ὁμοίως παρὰ τῶν Ψαλτῶν τὸ β΄. Ἀντίφωνον. Ὁ δὲ Διάκονος ὁμοίως ποιεῖ, ὡς καὶ ἐν τῇ προτέρᾳ Εὐχῇ.

Εὐχὴ Ἀντιφώνου β΄.

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν Λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ Οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεός.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ἐκφώνησις.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοῦ αἰῶνας τῶν αἰώνων.

Εὐχὴ Ἀντιφώνου γ΄.

Ὁ τὰς κοινὰς ταύτας, καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχὰς, ὁ καὶ δυσὶ, καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ψαλλομένου δὲ τοῦ τρίτου Ἀντιφώνου παρὰ τῶν Ψαλτῶν, ἢ τῶν Μακαρισμῶν, ἐάν ἐστι Κυριακὴ, ὅταν ἔλθωσιν εἰς τὸ Δόξα, ὁ Ἱερεὺς καὶ ὁ Διάκονος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, ποιοῦσι προσκυνήματα τρία. Εἶτα λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, δίδωσι τῷ Διακόνῳ. Καὶ οὕτως ἐξελθόντες διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτοῖς λαμπάδων, ποιοῦσι τὴν μικρὰν Εἴσοδον· καὶ στάντες ἐν τῷ συνήθει τόπῳ, κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς. Καὶ τοῦ Διακόνου εἰπόντος ἠρέμα, Τοῦ Κυρίου δεηθῶμεν, λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν τῆς Εἴσοδου μυστικῶς.

Εὐχὴ τῆς Εἰσόδου.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα, καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ Εἰσόδῳ ἡμῶν, Εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τῆς Εὐχῆς δὲ τελεσθείσης, λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα, δεικνύων πρὸς ἀνατολὰς τῇ δεξιᾷ, κρατῶν ἅμα καὶ τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις·

Εὐλόγησον Δέσποτα τὴν ἁγίαν Εἴσοδον.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν, λέγει·

Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶθ' οὕτως ἀπέρχεται πρὸς τὸν Ἡγούμενον ὁ Διάκονος, καὶ ἀσπάζεται τὸ Εὐαγγέλιον, εἰ πάρεστι· εἰδ' οὔ, ἀσπάζεται τοῦτο ὁ Ἱερεύς. Πληρωθέντος δὲ τοῦ τελευταίου Τροπαρίου, εἰσέρχεται ὁ Διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ Ἱερέως, ἀνυψοῖ μικρὸν τὰς χεῖρας, καὶ δεικνύων τὸ ἅγιον Εὐαγγέλιον, λέγει μεγαλοφώνως.

Σοφία, ὀρθοί.

Εἶτα προσκυνήσας αὐτός τε, καὶ ὁ Ἱερεὺς κατόπισθεν αὐτοῦ, εἰσέρχονται εἰς τὸ ἅγιον Βῆμα· καὶ ὁ μὲν Διάκονος ἀποτίθησι τὸ ἅγιον Εὐαγγέλιον ἐν τῇ ἁγίᾳ Τραπέζῃ, οἱ δὲ Ψάλται λέγουσι τὰ συνήθη Τροπάρια· καὶ ὅτε εἴπωσι τὸ ὕστερον, λέγει ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Ἱερεύς.

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί.

Ὁ Διάκονος.

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός. *Ἀμήν.*

Ψαλλομένου δὲ τοῦ Τρισαγίου, λέγει ὁ Ἱερεὺς τὴν εὐχὴν ταύτην μυστικῶς.

Εὐχὴ τοῦ Τρισαγίου Ὕμνου.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ Τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς

τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν, καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς, καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου Θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν, καὶ δοξολογίαν προσάγειν· αὐτὸς, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν Τρισάγιον Ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε, καὶ ἀκούσιον. Ἁγίασον ἡμῶν τὰς ψυχὰς, καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ταύτης δὲ τελεσθείσης, λέγουσι καὶ αὐτοὶ, ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος, τὸ Τρισάγιον, ποιοῦντες ὁμοῦ καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας Τραπέζης.

Εἶτα λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα.

Κέλευσον Δέσποτα. Καὶ ἀπέρχονται ἐν τῇ καθέδρᾳ.

Καὶ ὁ Ἱερεὺς λέγει ἀπερχόμενος.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ δὲ Διάκονος· Εὐλόγησον Δέσποτα τὴν ἄνω Καθέδραν.

Καὶ ὁ Ἱερεύς· Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς Βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ συμπλήρωσιν τοῦ Τρισαγίου, ὁ Διάκονος ἐλθὼν ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, λέγει·

Πρόσχωμεν. Καὶ ὁ Ἀναγνώστης. Ἀλληλοῦϊα, Ψαλμὸς τῷ Δαυΐδ. Καὶ ὁ Διάκονος αὖθις· Σοφία. Καὶ ὁ Ἀναγνώστης τὸ Προκείμενον τοῦ Ἀποστόλου. Καὶ αὖθις ὁ Διάκονος· Πρόσχωμεν. Καὶ τοῦ Ἀποστόλου πληρωθέντος, λέγει ὁ Ἱερεύς· Εἰρήνη σοι. Καὶ ὁ Ἀναγνώστης· Ἀλληλούϊα, Ψαλμὸς τῷ Δαυΐδ. Τοῦ δὲ, Ἀλληλούϊα, ψαλλομένου, λαβὼν ὁ Διάκονος τὸ Θυμιατήριον, καὶ τὸ θυμίαμα, πρόσεισι τῷ Ἱερεῖ, καὶ λαβὼν εὐλογίαν παρ' αὐτοῦ θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν, καὶ τὸ Ἱερατεῖον ὅλον, καὶ τὸν Ἱερέα. Καὶ ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν ταύτην.

Εὐχὴ πρὸ τοῦ Εὐαγγελίου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανοήσιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες, καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ

ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ δὲ Διάκονος τὸ Θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν Ἱερέα, καὶ ὑποκλίνας αὐτῷ τὴν κεφαλὴν, κρατῶν τὸ Ὡράριον σὺν τῷ ἁγίῳ Εὐαγγελίῳ ἄκροις τοῖς δακτύλοις, δηλονότι ἐν ἐκείνῳ τῷ τόπῳ τῆς ἁγίας Τραπέζης, λέγει.

Εὐλόγησον Δέσποτα τὸν Εὐαγγελιστὴν τοῦ ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ (τοῦ δε).

Ὁ δὲ Ἱερεὺς σφραγίζων αὐτὸν, λέγει·

Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ (τοῦ δε), δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ, δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ δὲ Διάκονος εἰπὼν τὸ, Ἀμὴν, καὶ προσκυνήσας μετ' εὐλαβείας τὸ ἅγιον Εὐαγγέλιον, αἴρει αὐτό· καὶ ἐξελθὼν διὰ τῶν ἁγίων Θυρῶν, προπορευομένων αὐτῷ λαμπάδων, ἔρχεται, καὶ ἵσταται ἐν τῷ Ἄμβωνι, ἢ ἐν τῷ τεταγμένῳ τόπῳ.

Ὁ δὲ Ἱερεὺς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ βλέπων πρὸς δυσμὰς, ἐκφωνεῖ· Σοφία, ὀρθοὶ, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι. Καὶ ὁ Διάκονος· Ἐκ τοῦ κατὰ (τόν δε) ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα. Ὁ Ἱερεύς· Πρόσχωμεν.

Καὶ πληρωθέντος τοῦ Εὐαγγελίου, λέγει πρὸς τὸν Διάκονον ὁ Ἱερεύς· Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ. Καὶ ὁ Διάκονος ἐλ-

θῶν ἕως τῶν ἁγίων Θυρῶν, ἀποδίδωσι τὸ ἅγιον Εὐαγγέλιον τῷ Ἱερεῖ· καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, ἄρχεται οὕτως.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Ὁ Χορός. Κύριε ἐλέησον, γ΄.

Κύριε Παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ὁ Διάκονος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν, καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν Ἀδελφῶν ἡμῶν, τῶν Ἱερέων, Ἱερομονάχων, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων, καὶ ἀειμνήστων Κτητόρων τῆς ἁγίας Μονῆς ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων, καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων, καὶ ἁπανταχοῦ Ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, καὶ ἀφέσεως ἁμαρτιῶν, τῶν δούλων τοῦ Θεοῦ, τῶν ἀδελφῶν τῆς αγίας Μονῆς ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ, καὶ πανσέπτῳ Ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων· καὶ ὑπὲρ τοῦ περιεστῶτος Λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἐκφώνησις.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διακόνος.

Εὔξασθε οἱ Κατηχούμενοι τῷ Κυρίῳ.

Οἱ Πιστοὶ ὑπὲρ τῶν Κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ· κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας· ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης· ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτοὺς ὁ Θεός.

Οἱ Κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Εὐχὴ Κατηχουμένων πρὸ τῆς ἁγίας Ἀναφορᾶς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν, καὶ Θεὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς Κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου Καθολικῇ, καὶ

Ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἐκφώνησις.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἐξαπλοῖ τὸ Εἰλητὸν ὁ Ἱερεύς.

Καὶ ὁ Διάκονος.

Ὅσοι Κατηχούμενοι προέλθετε, οἱ Κατηχούμενοι προέλθετε· ὅσοι Κατηχούμενοι προέλθετε· μήτις τῶν Κατηχουμένων· ὅσοι Πιστοί.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Πιστῶν, α΄. μετὰ τὸ ἁπλωθῆναι τὸ Εἰλητόν.

Εὐχαριστοῦμέν σοι Κύριε ὁ Θεὸς τῶν Δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· πρόσδεξαι, ὁ Θεὸς, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις, καὶ ἱκεσίας, καὶ θυσίας ἀναιμάκτους, ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως, καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ, καὶ τόπῳ· ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴῃς ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Ὁ Διάκονος· Ἀντιλαβοῦ σῶσον, ἐλέησον. Σοφία.

Ἐκφώνησις.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Πιστῶν, β'.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς, καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς, καὶ πνεύματος· καὶ δῴης ἡμῖν ἀνένοχον, καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου Θυσιαστηρίου· χάρισαι δὲ, ὁ Θεὸς, τοῖς συνευχομένοις ἡμῖν, προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύειν σοι ἀνενόχως, καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου Μυστηρίων, καὶ τῆς ἐπουρανίου σου Βασιλείας ἀξιωθῆναι.

Ὁ Διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Σοφία.

Ἐκφώνησις.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός. Ἀμήν.

Εὐχὴ, ἣν λέγει ὁ Ἱερεὺς καθ' ἑαυτὸν, τοῦ Χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν σσνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις, καὶ ἡδοναῖς, προσέρχεσθαι, ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα, καὶ φοβερὸν, καὶ αὐταῖς ταῖς ἐπουρανίαις

Δυνάμεσιν· Ἀλλ' ὅμως διὰ τὴν ἄφατον, καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως, καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ Ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης, καὶ ἀναιμάκτου θυσίας τὴν Ἱερουγίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων, καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου Χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος, καὶ Βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ μόνος Ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν, καὶ εὐήκοον, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν, καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν, καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ Τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον, καὶ ἄχραντόν σου Σῶμα, καὶ τὸ τίμιον Αἷμα. Σὲ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Πληρωθείσης δὲ τῆς εὐχῆς, λέγουσι καὶ αὐτοὶ τὸν Χερουβικὸν ὕμνον. Εἶτα λαβὼν ὁ Διάκονος τὸν Θυμιατὸν, καὶ θυμίαμα βαλὼν, πρόσεισι τῷ Ἱερεῖ· καὶ λαβὼν εὐλογίαν παρ' αὐτοῦ, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν, καὶ τὸ Ἱερατεῖον ὅλον, καὶ τὸν Ἱερέα· λέγει δὲ καὶ τὸν Πεντηκοστὸν, καὶ Τροπάρια κατα-

νυκτικὰ ὅσα καὶ βούλεται, ὁμοῦ μετὰ τοῦ Ἱερέως. Καὶ ἀπέρχονται ἐν τῇ Προθέσει, προπορευομένου τοῦ Διακόνου. Αὐτὸς δὲ θυμιάσας τὰ Ἅγια, καθ' ἑαυτὸν εὐχόμενος τὸ, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, λέγει πρὸς τὸν Ἱερέα, Ἔπαρον Δέσποτα. Καὶ ὁ Ἱερεὺς ἄρας τὸν Ἀέρα, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ αὐτοῦ, λέγων·

Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον.

Εἶτα τὸν ἅγιον Δίσκον λαβὼν, ἐπιβάλλει τῇ τοῦ Διακόνου κεφαλῇ μετὰ πάσης προσοχῆς, καὶ εὐλαβείας, κρατοῦντος ἅμα τοῦ Διακόνου καὶ τὸν Θυμιατὸν ἑνὶ τῶν δακτύλων. Αὐτὸς δὲ τὸ ἅγιον Ποτήριον ἀνὰ χεῖρας λαβὼν, ἐξέρχονται διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτοῖς λαμπάδων· καὶ περιέρχονται τὸν Ναὸν, εὐχόμενοι ἀμφότεροι ὑπὲρ πάντων καὶ λέγοντες·

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰσελθὼν δὲ ὁ Διάκονος ἔνδον τῶν ἁγίων Θυρῶν, ἵσταται ἐν τοῖς δεξιοῖς. Καὶ μέλλοντος τοῦ Ἱερέως εἰσελθεῖν, λέγει πρὸς αὐτὸν ὁ Διάκονος.

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ Βασιλείᾳ αὐτοῦ.

Καὶ ὁ Ἱερεὺς πρὸς αὐτόν.

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱεροδιακονίας σου ἐν τῇ

Βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺ αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ μὲν Ἱερεὺς ἀποτίθησι τὸ ἅγιον Ποτήριον ἐν τῇ ἁγίᾳ Τραπέζῃ· τὸν δὲ ἅγιον Δίσκον λαβὼν ἀπὸ τῆς τοῦ Διακόνου κεφαλῆς, ἀποτίθησι καὶ αὐτὸν τῇ ἁγίᾳ Τραπέζῃ, λέγων·

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελών.
Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς.
Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος.

Εἶτα τὰ μὲν Καλύμματα ἄρας ἀπό τε τοῦ ἱεροῦ Δίσκου, καὶ τοῦ ἁγίου Ποτηρίου, τίθησιν ἐν ἑνὶ μέρει τῆς ἁγίας Τραπέζης, τὸν δὲ Ἀέρα ἀπὸ τῶν τοῦ Διακόνου ὤμων, καὶ θυμιάσας, σκεπάζει δι' αὐτοῦ τὰ Ἅγια, λέγων·

Ὁ εὐσχήμων Ἰωσὴφ, ἕως τοῦ, Κηδεύσας ἀπέθετο.

Καὶ λαβὼν τὸν Θυμιατὸν ἐκ τῶν τοῦ Διακόνου χειρῶν, θυμιᾷ τὰ Ἅγια τρὶς, λέγων.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ Θυσιαστήριόν σου μόσχους.

Καὶ ἀποδοὺς τὸν Θυμιατὸν, καὶ χαλάσας τὸ Φελώνιον, κλίνας τε τὴν κεφαλὴν, λέγει πρὸς τὸν Διάκονον·

Μνήσθητί μου ἀδελφὲ, καὶ συλλειτουργέ.

Καὶ ὁ Διάκονος, πρὸς αὐτόν·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ Βασιλείᾳ αὐτοῦ.

Εἶτα ὁ Διάκονος ὑποκλίνας καὶ αὐτὸς τὴν κεφαλὴν, κρατῶν ἅμα καὶ τὸ Ὠρά-

ριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς, λέγει πρὸς τὸν Ἱερέα·

Εὖξαι ὑπὲρ ἐμοῦ, Δέσποτα ἅγιε.

Καὶ ὁ Ἱερεύς·

Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Καὶ ὁ Διάκονος· Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Καὶ αὖθις ὁ αὐτός· Μνήσθητί μου Δέσποτα ἅγιε.

Καὶ ὁ Ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἐπειπὼν τὸ, Ἀμὴν, καὶ ἀσπασάμενος τὴν τοῦ Ἱερέως δεξιὰν, ἐξέρχεται, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῶν προτεθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ τῆς Προσκομιδῆς, μετὰ τὴν ἐν τῇ ἁγίᾳ Τραπέζῃ τῶν θείων Δώρων ἀπόθεσιν.

Κύριε ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν

δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι Δῶρά τε, καὶ Θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν Θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ Χορός· Παράσχου Κύριε.

Συγγώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ, καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ὁ Ἱερεὺς ἐκφώνως.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἰρήνη πᾶσι.

Ὁ Διάκονος.

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν

Ὁ Χορός. Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, καὶ ἀχώριστον.

Καὶ ὁ μὲν Ἱερεὺς προσκύνησας τρὶς, ἀσπάζεται τὰ Ἅγια οὕτως, ὡς εἰσὶ κεκαλυμμένα, λέγων μυστικῶς·

Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου.

Ἐκ γʹ.

Ὁμοίως καὶ ὁ Διάκονος συμπροσκυνεῖ, ἐν ᾧ ἵσταται τόπῳ, ἀσπάζεται καὶ τὸ Ὠράριον αὐτοῦ, ἔνθα ἐστὶ Σταυροῦ τύπος, καὶ οὕτως ἐκφωνεῖ·

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ Λαὸς τὸ, Πιστεύω εἰς ἕνα Θεόν.

Ὁ Διάκονος.

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν Ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ Χορός. Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Καὶ ὁ μὲν Ἱερεὺς ἐπάρας τὸν Ἀέρα ἀπὸ τῶν Ἁγίων, ἀποτίθησιν ἐν ἑνὶ τόπῳ, λέγων·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν.

Ὁ δὲ Διάκονος προσκυνήσας, εἰσέρχεται ἐν τῷ ἁγίῳ Βήματι· καὶ λαβὼν Ῥιπίδιον, ῥιπίζει τὰ Ἅγια εὐλαβῶς.

Ὁ Ἱερεὺς ἐκφωνεῖ.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Ὁ Χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Ἱερεύς. Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ Χορός. Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ Ἱερεύς. Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός. Ἄξιον καὶ δίκαιον ἐστὶ προσκυνεῖν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, καὶ ἀχώριστον.

Ὁ Ἱερεὺς ἐπεύχεται.

Ἄξιον, καὶ δίκαιον, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν Βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν, καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς Λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καί τοι σοι παρεστήκασι χιλιάδες Ἀρχαγγέλων, καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά.

Ἐκφώνως.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα.

Ὁ Χορός·

Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαὼθ, πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ἐνταῦθα πάλιν λαβὼν ὁ Διάκονος τὸν Ἀστερίσκον ἐκ τοῦ ἁγίου Δίσκου, ποιεῖ Σταυροῦ τύπον ἐπάνω αὐτοῦ, καὶ ἀσπασάμενος αὐτὸν ἀποτίθησιν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται.

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν, καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὃς ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ αὐτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίας αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας, καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών·

Ἐκφώνως.

Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός. Ἀμήν.

Τούτου δὲ λεγομένου, δεικνύει τῷ Ἱερεῖ ὁ Διάκονος τὸν ἅγιον Δίσκον, κρατῶν καὶ τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς· ὁμοίως καὶ ὅταν λέγῃ ὁ Ἱερεὺς τό· Πίετε ἐξ αὐτοῦ πάντες, συνδεικνύει καὶ αὐτὸς τὸ ἅγιον Ποτήριον.

Εἶτα μυστικῶς ὁ Ἱερεύς.

Ὁμοίως καὶ τὸ Ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

'Εκφώνως.

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ Αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ἡμῶν, καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός. Ἀμήν.

Ὁ Ἱερεὺς ἐπεύχεται.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ Σταυροῦ, τοῦ Τάφου, τῆς τριημέρου Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς Ἀναβάσεως, τῆς ἐκ δεξιῶν Καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν Παρουσίας,

'Εκφώνως.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ Χορός.

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ὁ Ἱερεὺς ἐπεύχεται.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην, καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν· Κατάπεμψον τὸ Πνεῦμά σου το ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα.

Καὶ ὁ μὲν Διάκονος ἀποτίθησι τὸ Ῥιπίδιον, καὶ ἔρχεται ἐγγύτερον τῷ Ἱερεῖ, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, εὐχόμενοι καθ' ἑαυτούς, καὶ λέγοντες τό, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Εἶτα τό, Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα.

Στίχ. Καρδίαν καθαράν κτίσον ἐν ἐμοὶ ὁ Θεός.

Στ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Εἶτα, Δόξα.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ πανσόφους τοὺς Ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε δόξα σοι.

Καὶ νῦν.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε· καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.

Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ Διάκονος, καὶ δεικνύων σὺν τῷ Ὠραρίῳ τὸν ἅγιον Ἄρτον, λέγει μυστικῶς·

Εὐλόγησον Δέσποτα τὸν ἅγιον Ἄρτον.

Καὶ ὁ Ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια Δῶρα, λέγων·

Καὶ ποίησον τὸν μὲν Ἄρτον τοῦτον, τίμιον Σῶμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Ἀμήν. Καὶ αὖθις ὁ αὐτός·

Εὐλόγησον Δέσποτα τὸ ἅγιον Ποτήριον.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν, λέγει·

Τὸ δὲ ἐν τῷ Ποτηρίῳ τούτῳ, τίμιον Αἷμα τοῦ Χριστοῦ σου.

Ὁ Διακονός· Ἀμήν. Καὶ αὖθις ὁ Διάκονος δεικνύων μετὰ τοῦ Ὠραρίου ἀμφότερα τὰ Ἅγια, λέγει·

Εὐλόγησον Δέσποτα.

Ὁ δὲ Ἱερεὺς εὐλογῶν ἀμφότερα τὰ Ἅγια λέγει·

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ.

Ὁ Διάκονος. Ἀμὴν, Ἀμὴν, Ἀμήν.

Καὶ τὴν κεφαλὴν ὑποκλίνας ὁ Διάκονος τῷ Ἱερεῖ, καὶ εἰπὼν τὸ, Μνήσθητί μου ἅγιε Δέσποτα τοῦ ἁμαρτωλοῦ, *ἵσταται ἐν ᾧ πρότερον τόπῳ, καὶ λαβὼν τὸ Ῥιπίδιον, ῥιπίζει τὰ Ἅγια, ὡς καὶ τὸ πρότερον. Ὁ δὲ Ἱερεὺς ἐπεύχεται.*

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου Πνεύματος, εἰς Βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ κρίμα, ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν, ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Ὁ δὲ Διάκονος θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν, καὶ μνημονεύει ὧν βούλεται ζώντων, καὶ τεθνεώτων.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ἐξαιρέτως τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Ὁ Διάκονος μνημονεύει τὰ Δίπτυχα τῶν κεκοιμημένων.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται.

Τοῦ ἁγίου Ἰωάννου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων, τοῦ Ἁγίου (*τοῦ δεῖνος*) οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων, ὧν ταῖς

ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός· καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ ἀνάπαυσον αὐτοὺς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε· Μνήσθητι Κύριε πάσης ἐπισκοπῆς Ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς Ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἁγνείᾳ, καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν πιστοτάτων, καὶ φιλοχρίστων ἡμῶν Βασιλέων, παντὸς τοῦ Παλατίου, καὶ τοῦ Στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς Κύριε εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ, καὶ σεμνότητι.

Ἐκφώνως.

Ἐν πρώτοις μνήσθητι Κύριε τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ Διάκονος πρὸς τῇ Θύρᾳ στὰς, λέγει· Τοῦ δεῖνος Πατριάρχου, Μητροπολίτου, ἢ Ἐπισκόπου, *ὅς τις ἂν ᾖ.*

Εἶτα μνημονεύει ὁ αὐτὸς τὰ Δίπτυχα τῶν ζώντων.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται.

Μνήσθητι Κύριε τῆς Πόλεως, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως, καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι Κύριε πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ

τῆς σωτηρίας αὐτῶν. **Μνήσθητι Κύριε** *τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου* Ἐκκλησίαις, *καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.*

Ἐκφώνως.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ δοξάζειν, καὶ ἀνυμνεῖν τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁμοίως.

Καὶ *ἔσται τὰ ἐλέη τοῦ μεγάλου* Θεοῦ, *καὶ* Σωτῆρος *ἡμῶν* Ἰησοῦ Χριστοῦ *μετὰ πάντων ἡμῶν.*

Ὁ δὲ Διάκονος λαβὼν καιρὸν παρὰ τοῦ Ἱερέως, καὶ ἐξέλθων, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων Δώρων.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ Θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν, καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κ. τ. λ.

Ὁ Ἱερεὺς ἐπεύχεται.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμεν καὶ δεόμεθα, καὶ ἱκετεύομεν· Καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου, καὶ φρικτῶν Μυστηρίων

ταύτης τῆς ἱερᾶς, καὶ πνευματικῆς Τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς Βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν.

Συγγνώμην, καὶ ἄφεσιν.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς.

Τὸν ὑπόλοιπον χρόνον.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα.

Τὴν ἑνότητα τῆς Πίστεως, καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως, τολμᾷν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·

Ὁ Λαὸς τὸ, Πάτερ ἡμῶν.

Ὁ Ἱερεύς· Ὅτι σοῦ ἐστίν. Εἶτα, Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται.

Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών. Αὐτὸς, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν

ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Ἐκφώνησις.

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεὺς ἐπεύχεται.

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς Βασιλείας σου, καὶ ἐλθὲ, εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ, μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ Ἱερεὺς, ὁμοίως καὶ ὁ Διάκονος ἐν ᾧ ἵστανται τόπῳ, λέγοντες μυστικῶς τρίς· Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Ὅταν δὲ ἴδῃ ὁ Διάκονος τὸν Ἱερέα ἐκτείνοντα τὰς χεῖρας, καὶ ἁπτόμενον τοῦ ἁγίου Ἄρτου, πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν Ὕψωσιν, ἐκφωνεῖ· Πρόσχωμεν.

Καὶ ὁ Ἱερεὺς ὑψῶν τὸν ἅγιον Ἄρτον, ἐκφωνεῖ·

Τὰ Ἅγια τοῖς ἁγίοις.

Εἶτα ζώννυται ὁ Διάκονος τὸ Ὠράριον αὐτοῦ σταυροειδῶς, καὶ εἰσέρχεται ἐν τῷ ἁγίῳ Βήματι, καὶ στὰς ἐκ δεξιῶν,

τοῦ Ἱερέως κρατοῦντος τὸν ἅγιον Ἄρτον, λέγει·

Μέλισον Δέσποτα τὸν ἅγιον Ἄρτον.

Ὁ δὲ Ἱερεὺς μερίζων αὐτὸν εἰς τέσσαρα, μετὰ προσοχῆς καὶ εὐλαβείας, λέγει·

Μελίζεται, καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.

Καὶ ὁ Διάκονος δεικνύων σὺν τῷ Ὠραρίῳ τὸ ἅγιον Ποτήριον, λέγει·

Πλήρωσον Δέσποτα τὸ ἅγιον Ποτήριον.

Ὁ δὲ Ἱερεὺς λαβὼν τὴν ἄνω κειμένην μερίδα, ποιεῖ σὺν αὐτῇ Σταυρὸν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, λέγων·

Πλήρωμα πίστεως, Πνεύματος ἁγίου.

Καὶ οὕτως ἐμβάλλει εἰς τὸ ἅγιον Ποτήριον.

Ὁ Διάκονος· Ἀμήν. *Καὶ δεχόμενος τὸ Ζέον, λέγει πρὸς τὸν Ἱερέα·*

Εὐλόγησον Δέσποτα τὸ Ζέον·

Ὁ δὲ Ἱερεὺς εὐλογεῖ, λέγων·

Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Καὶ ὁ Διάκονος ἐκχέει τὸ ἀρκοῦν σταυροειδῶς ἔνδον τοῦ ἁγίου Ποτηρίου, λέγων.

Ζέσις πίστεως, πλήρης Πνεύματος ἁγίου· Ἀμήν.

Ἐκ γ'.

Καὶ ἀποτιθέμενος τὸ Ζέον, ἵσταται

μικρὸν ὄπισθεν. Ὁ δὲ Ἱερεὺς λαβὼν μίαν Μερίδα τοῦ ἁγίου Ἄρτου, λέγει·

Τὸ τίμιον καὶ πανάγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδίδοταί μοι, (*τῷ δεῖνι*) Ἱερεῖ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Πιστεύω Κύριε, καὶ ὁμολογῶ, *καὶ,* Τοῦ Δείπνου σου τοῦ μυστικοῦ σήμερον· *καὶ τελευταῖον τὸ,*

Μή μοι εἰς κρῖμα, ἢ εἰς κατάκριμα γένοιτο ἡ μετάληψις τῶν ἁγίων σου Μυστηρίων, Κύριε, ἀλλ' εἰς ἴασιν ψυχῆς καὶ σώματος.

Καὶ οὕτω μεταλαμβάνει τοῦ ἐν χερσὶ μετὰ φόβου, καὶ πάσης ἀσφαλείας. Εἶτα λέγει· Ὁ Διάκονος πρόσελθε.

Καὶ προσελθὼν ὁ Διάκονος, ποιεῖ μετάνοιαν εὐλαβῶς αἰτῶν συγχώρησιν· ὁ δὲ Ἱερεὺς κρατῶν τὸν ἅγιον Ἄρτον, δίδωσι τῷ Διακόνῳ· καὶ ἀσπασάμενος ὁ Διάκονος τὴν μεταδιδοῦσαν αὐτῷ χεῖρα, λαμβάνει τὸν ἅγιον Ἄρτον, λέγων·

Μετάδος μοι Δέσποτα τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ δὲ Ἱερεὺς λέγει·

(*Τῷ δεῖνι*) Ἱεροδιακόνῳ μεταδίδοται τὸ τίμιον, καὶ ἅγιον, καὶ ἄχραντον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν αὐτοῦ ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ἀπέρχεται ὁ Διάκονος ὄπισθεν τῆς ἱερᾶς Τραπέζης, κλίνας τὴν κεφαλὴν, καὶ προσεύχεται, ὡς ὁ Ἱερεύς.

Εἶτα ἀναστὰς ὁ Ἱερεὺς, λαμβάνει ταῖς χερσὶν ἀμφοτέραις μετὰ Καλύμματος

τὸ ἅγιον Ποτήριον, καὶ μεταλαμβάνει τρίτον ἐξ αὐτοῦ, καὶ οὕτω τά, τε ἴδια χείλη, καὶ τοῦ ἱεροῦ Ποτηρίου, τῷ ἐν χερσὶ Καλύμματι ἀποσπογγίσας, καλεῖ τὸν Διάκονον, λέγων·

Διάκονε πρόσελθε.

Καὶ ὁ Διάκονος ἔρχεται, καὶ προσκυνεῖ ἅπαξ, λέγων·

Ἰδοὺ προσέρχομαι τῷ ἀθανάτῳ Βασιλεῖ· *καὶ τὸ,* Πιστεύω Κύριε, καὶ ὁμολογῶ, ὅλον· *καὶ λέγει ὁ Ἱερεύς.* Μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ Διάκονος, (*ὁ δεῖνα*) τὸ τίμιον, καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν αὐτοῦ ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος δὲ τοῦ Διακόνου, λέγει ὁ Ἱερεύς.

Τοῦτου ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

Τότε λαβὼν τὸν ἅγιον Δίσκον ὁ Διάκονος, ἐπάνω τοῦ ἁγίου Ποτηρίου, ἀποσπογγίζει τῷ ἁγίῳ Σπόγγῳ πάνυ καλῶς, καὶ μετὰ προσοχῆς καὶ εὐλαβείας σκεπάζει τὸ ἅγιον Ποτήριον τῷ Καλύμματι, ὁμοίως καὶ ἐπὶ τὸν ἅγιον Δίσκον ἀνατίθησι τὸν Ἀστέρα, καὶ τὰ Καλύμματα. Εἶτα ἐπιλέγει τὴν τῆς εὐχαριστίας Εὐχὴν ὁ Ἱερεύς.

Εὐχαριστοῦμέν σοι Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου, καὶ ἀθανάτων Μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδὸν, στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας, φρούρησον ἡμῶν τὴν ζωὴν,

ἀσφάλισαι ἡμῶν τὰ διαβήματα· εὐχαῖς, καὶ ἱκεσιαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, *καὶ πάντων τῶν* Ἁγίων *σου.*

Καὶ οὕτως ἀνοίγουσι τὴν Θύραν τοῦ ἁγίου Βήματος. Καὶ ὁ Διάκονος προσκυνήσας ἅπαξ, λαμβάνει τὸ Ποτήριον μετὰ εὐλαβείας, καὶ ἔρχεται εἰς τὴν Θύραν, καὶ ὑψῶν τὸ ἅγιον Ποτήριον, δείκνυσιν αὐτὸ τῷ λαῷ, λέγων·

Μετὰ φόβου Θεοῦ, πίστεως, καὶ ἀγάπης προσέλθετε.

Ὁ δὲ Ἱερεὺς εὐλογεῖ τὸν λαὸν, ἐπιλέγων ἐκφώνως·

Σῶσον, ὁ Θεὸς, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Καὶ ἐπιστρέφουσιν, ὅ, τε Διάκονος, καὶ ὁ Ἱερεὺς εἰς τὴν ἁγίαν Τράπεζαν, καὶ θυμιᾷ ὁ Ἱερεὺς τρὶς, λέγων καθ' ἑαυτόν.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἶτα λαβὼν τὸν ἅγιον Δίσκον, τίθησιν ἐπὶ τὴν κεφαλὴν τοῦ Διάκονου· καὶ ὁ Διάκονος λαβὼν μετ' εὐλαβείας, θεωρῶν ἔξω πρὸς τὴν Θύραν, οὐδὲν λέγων, ἀπέρχεται εἰς τὴν Πρόθεσιν, καὶ ἀποτίθησιν αὐτόν· ὁ δὲ Ἱερεὺς προσκυνήσας, καὶ λαβὼν τὸ ἅγιον Ποτήριον, καὶ ἐπιστραφεὶς πρὸς τὴν Θύραν, ὁρᾷ τὸν λαὸν, λέγων μυστικῶς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν· εἶτα ἐκφωνεῖ· Πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἐξελθὼν ὁ Διάκονος, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Ὀρθοὶ μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ Μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς.
Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν.

Ἐκφώνησις.

Ὅτι σὺ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός. Ἀμήν.

Ὁ Ἱερεύς. Ἐν εἰρήνῃ προέλθωμεν.
Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Ὀπισθάμβωνος,
ἐκφωνουμένη παρὰ τοῦ Ἱερέως ἔξω τοῦ Βήματος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς Ἱερεῦσι, τοῖς Βασιλεῦσιν ἡμῶν, τῷ Στρατῷ, καὶ παντὶ τῷ Λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταύτης δὲ τελεσθείσης, ὁ μὲν Ἱερεὺς εἰσέρχεται διὰ τῶν ἁγίων Θυρῶν, καὶ

ἀπελθὼν ἐν τῇ Προθέσει, λέγει τὴν παροῦσαν Εὐχήν.

Εὐχὴ λεγομένη ἐν τῷ συστεῖλαι τὰ ἅγια μυστικῶς.

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν φροφητῶν, αὐτὸς ὑπάρχων Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν Πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεύς. Εὐλογία Κυρίου ἐφ' ὑμᾶς. Εἶτα. Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ Λαος. Δόξα, καὶ νῦν. Καὶ γίνεται Ἀπόλυσις.

Ὁ δὲ Διάκονος εἰσελθὼν καὶ αὐτὸς διὰ τοῦ βορείου μέρους, συστέλλει τὰ Ἅγια μετὰ φόβου καὶ πάσης ἀσφαλειας, ὥστε μηδέν τι τῶν ἄγαν λεπτοτάτων ἐκπεσεῖν, ἢ καταλειφθῆναι, καὶ ἀπονίπτεται τὰς χεῖρας ἐν τῷ συνήθει τόπῳ. Ὁ δὲ Ἱερεὺς ἐξελθὼν, δίδωσι τῷ λαῷ τὸ Ἀντιδωρον· Εἶτα εἰσελθὼν ἐν τῷ ἁγίῳ Βήματι, ἀποδύεται τὴν Ἱερατικὴν στολὴν, λέγων·

Νῦν ἀπολύεις· τὸ Τρισάγιον· καὶ τὰ λοιπά. Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Χρυσοστόμου.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν· ἀλλὰ σοῖς λόγοις παιδεύων Πάτερ Ἰωάννη Χροσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ, Κύριε ἐλέησον, ιβ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Καὶ ποιεῖ Ἀπόλυσιν. καὶ προσκυνήσας καὶ εὐχαριστήσας τῷ Θεῷ ἐπὶ πᾶσιν ἐξέρχεται.

Τέλος τῆς Θείας Λειτουργιας τοῦ Χρυσοστόμου.

THE LITURGY

OF

SAINT BASIL,

ACCORDING TO THE USE OF THE

Great Church

(CONSTANTINOPLE),

AND THE

Holy Mountain

(ATHOS).

EDITED BY THE

REV. J. M. NEALE, M.A.,

WARDEN OF SACKVILLE COLLEGE.

LONDON:

J. T. HAYES, LYALL PLACE, EATON SQUARE.

1858.

PREFACE.

The Liturgy of S. Basil, modified from that of S. James, as the Liturgy of S. Chrysostom is from that of S. Basil, is still said in the Eastern Church on all Sundays in Lent, (except Palm Sunday,) on Maundy Thursday, Easter Eve, the Vigils of Christmas and the Epiphany, and the Feast of S. Basil (Jan. 1).

It is here reprinted from the same source as the Liturgy of S. Chrysostom, which is always printed with it, and precedes it.

Sackville College,
Jan. 21, 1859.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Εὐχὴ ὑπὲρ τῶν Κατηχουμένων πρὸ τῆς ἁγίας Ἀναφορᾶς, ἣν ὁ Ἱερεὺς λέγει μυστικῶς.

ΚΥΡΙΕ ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν, καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς Κατηχουμένους, τοὺς ὑποκεκλικότας τοὺς ἑαυτῶν αὐχένας ἐνώπιόν σου, καὶ δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν· ποίησον αὐτοὺς μέλη τίμια τῆς ἁγίας σου Ἐκκλησίας, καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσιν σοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Ἐκφώνησις.

Ἵνα καὶ αὐτοὶ, κ.τ.λ.

Εὐχὴ Πιστῶν πρώτη, μετὰ τὸ ἁπλωθῆναι τὸ Εἰλητὸν, ἣν ὁ Ἱερεὺς λέγει μυστικῶς.

Σὺ Κύριε κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον· σὺ κατηξίωσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου Θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος εἰς τὴν διακονίαν ταύτην, ἵνα ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης σου,

προσάγωμέν σοι θυσίαν αἰνέσεως. Σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι· δὸς, Κύριε, καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, δεκτὴν γενέσθαι τὴν θυσίαν ἡμῶν, καὶ εὐπρόσδεκτον ἐνώπιόν σου.

Εὐχομένου τοῦ Ἱερέως, ὁ Διάκονος λέγει τὰ Εἰρηνικὰ, εἰ ἔστιν, ἔξω τοῦ ἁγίου Βήματος.

Ἔτι, καὶ ἔτι. Ἀντιλαβοῦ, σῶσον. Τῆς Παναγίας, ἀχράντου.

Ὁ Διάκονος· Σοφία. Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Πιστῶν δευτέρα, ἣν ὁ Ἱερεὺς λέγει μυστικῶς.

Ὁ Θεὸς ὁ ἐπισκεψάμενος ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν, ὁ στήσας ἡμᾶς τοὺς ταπεινοὺς, καὶ ἁμαρτωλοὺς, καὶ ἀναξίους δούλους σου κατενώπιον τῆς ἁγίας δόξης σου, λειτουργεῖν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, σὺ ἐνίσχυσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος εἰς τὴν διακονίαν ταύτην, καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος ἐπὶ τῶν μελλόντων προτίθεσθαι Δώρων.

Εὐχὴ τῆς Προσκομιδῆς, μετὰ τὴν ἐν τῇ ἁγίᾳ Τραπέζῃ τῶν θείων Δώρων ἀπόθεσιν, ἣν ὁ Ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίσας, καὶ ἀγαγὼν ἡμᾶς εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν·

σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου. Εὐδόκησον δὴ, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου Διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου Μυστηρίων· πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην, καὶ ἀναίμακτον θυσίαν, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἣν προσδεξάμενος εἰς τὸ ἅγιον, καὶ νοερόν σου Θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος. Ἐπίβλεψον ἐφ' ἡμᾶς, ὁ Θεὸς, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτὴν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς· ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου Ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ Δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου Κύριε· ἵνα καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, εὕρωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Ὁ Χορός· Καὶ μετὰ τοῦ Πνεύματός σου.

Ὁ Ἱερεύς· Ἄνω σχῶμεν τὰς καρδίας.
Ὁ Χορός· Ἔχομεν πρὸς τὸν Κύριον.
Ὁ Ἱερεύς· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός· Ἄξιον καὶ δίκαιον ἐστὶ, προσκυνεῖν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ Ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς.

Ὁ Ὢν, Δέσποτα, Κύριε, Θεὲ, Πάτερ παντοκράτορ, προσκυνητὲ, ἄξιον ὡς ἀληθῶς, καὶ δίκαιον, καὶ πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν τὸν μόνον ὄντως ὄντα Θεὸν, καὶ σοὶ προσφέρειν ἐν καρδίᾳ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως, τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν· ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας. Καὶ τίς ἱκανὸς λαλῆσαι τὰς δυναστείας σου, ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις σου; ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου ἐν παντὶ καιρῷ; Δέσποτα τῶν ἁπάντων, Κύριε οὐρανοῦ, καὶ γῆς, καὶ πάσης κτίσεως ὁρωμένης τε καὶ οὐχ ὁρωμένης, ὁ καθήμενος ἐπὶ θρόνου δόξης, καὶ ἐπιβλέπων ἀβύσσους, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε, ἀναλλοίωτε, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος τῆς ἐλπίδος ἡμῶν· ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος, σφραγὶς ἰσότυπος, ἐν ἑαυτῷ δεικνὺς σὲ τὸν Πατέρα, Λόγος ζῶν, Θεὸς ἀληθινὸς πρὸ αἰώνων, σοφία, ζωὴ, ἁγιασμὸς, δύναμις, τὸ φῶς τὸ ἀληθινὸν, παρ᾽ οὗ τὸ Πνεῦμα τὸ ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας Πνεῦμα, τὸ τῆς υἱοθεσίας χάρισμα, ὁ ἀῤῥαβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιὸς δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, παρ᾽ οὗ πᾶσα κτίσις λογική τε, καὶ νοερὰ, δυναμουμένη σοὶ λατρεύει, καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν, ὅτι τὰ σύμπαντα δοῦλα σά. Σὲ γὰρ αἰνοῦσιν Ἄγγελοι, Ἀρχάγγελοι, Θρόνοι, Κυριότητες, Ἀρχαὶ, Ἐξουσίαι, Δυνάμεις, καὶ

τὰ πολυόμματα Χερουβίμ· σοὶ παρίστανται κύκλῳ τὰ Σεραφὶμ, ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα, κέκραγεν ἕτερον πρὸς τὸ ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις·

Ἐκφώνως ὁ Ἱερεύς.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα·

Ὁ Χορός. Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαὼθ, πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

Κἀνταῦθα ὁ Διάκονος τὰ αὐτὰ ποιεῖ, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ· ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μετὰ τούτων τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ βοῶμεν, καὶ λέγομεν· Ἅγιος εἶ ὡς ἀληθῶς καὶ πανάγιος, καὶ οὐκ ἔστι μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου, ὅτι ἐν δικαιοσύνῃ, καὶ κρίσει ἀληθινῇ πάντα ἐπήγαγες ἡμῖν· πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ, ὁ Θεὸς, τιμήσας, τέθεικας αὐτὸν ἐν τῷ Παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς, καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγειλάμενος αὐτῷ· ἀλλὰ παρακούσαντα σοῦ τοῦ ἀληθινοῦ Θεοῦ, τοῦ κτίσαντος αὐτὸν, καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νεκρωθέντα τε τοῖς οἰκείοις αὐτοῦ παραπτώμασιν, ἐξώρισας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου, ὁ Θεὸς, ἐκ τοῦ Παραδείσου εἰς τὸν κόσμον τοῦτον, καὶ ἀπέστρεψας εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, οἰκονομῶν αὐτῷ τὴν ἐκ

παλιγγενεσίας σωτηρίαν, τὴν ἐν αὐτῷ τῷ Χριστῷ σου. Οὐ γὰρ ἀπεστράφης τὸ πλάσμα σου εἰς τέλος, ὃ ἐποίησας, ἀγαθὲ, οὐδὲ ἐπελάθου ἔργα χειρῶν σου, ἀλλ' ἐπεσκέψω πολυτρόπως διὰ σπλάγχνα ἐλέους σου· Προφήτας ἐξαπέστειλας· ἐποίησας δυνάμεις διὰ τῶν Ἁγίων σου τῶν καθ' ἑκάστην γενεὰν εὐαρεστησάντων σοι· ἐλάλησας ἡμῖν διὰ στόματος τῶν δούλων σου τῶν Προφητῶν, προκαταγγέλλων ἡμῖν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν· νόμον ἔδωκας εἰς βοήθειαν· Ἀγγέλους ἐπέστησας φύλακας. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ Υἱῷ σου, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησας. Ὃς ὢν ἀπαύγασμα τῆς δόξης σου, καὶ χαρακτὴρ τῆς ὑποστάσεώς σου, φέρωντε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὑτοῦ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοὶ τῷ Θεῷ, καὶ Πατρί· ἀλλὰ Θεὸς ὢν προαιώνιος, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ ἐκ Παρθένου ἁγίας σαρκωθεὶς, ἐκένωσεν ἑαυτὸν, μορφὴν δούλου λαβὼν, σύμμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἵνα ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος τῆς δόξης αὑτοῦ. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, εὐδόκησεν ὁ μονογενής σου Υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς, γενόμενος ἐκ γυναικὸς τῆς ἁγίας Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, γενόμενος ὑπὸ νόμον, κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὑτοῦ· ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες, ζωοποιηθῶσιν ἐν αὐτῷ τῷ Χριστῷ σου· καὶ ἐμπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δοὺς προστάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, προσήγαγε τῇ ἐπιγνώσει σοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρὸς, κτησάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· καὶ καθαρίσας ἐν ὕδατι, καὶ ἁγιάσας τῷ Πνεύματι τῷ ἁγίῳ, ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κα-

τειχόμεθα πεπραγμένοι ὑπὸ τὴν ἁμαρτίαν· καὶ κατελθὼν διὰ τοῦ Σταυροῦ εἰς τὸν ᾅδην, ἵνα πληρώσῃ ἑαυτῷ τὰ πάντα, ἔλυσε τὰς ὀδύνας τοῦ θανάτου· καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρα, καὶ ὁδοποιήσας σαρκὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς ζωῆς, ἐγένετο ἀπαρχὴ τῶν κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα ᾖ αὐτοὺς τὰ πάντα ἐν πᾶσι πρωτεύων· καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς· ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ Πάθους, ταῦτα, ἃ προτεθείκαμεν κατὰ τὰς αὐτοῦ ἐντολάς· μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον, καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ, καὶ ἀχράντων χειρῶν, ἀναδείξας σοὶ τῷ Θεῷ, καὶ Πατρὶ, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας,

Ὁ Ἱερεὺς αἴρων τῇ δεξιᾷ αὐτοῦ, δεικνύει τὸν ἅγιον Δίσκον, λέγων ἐκφώνως·

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών· Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορὸς ψάλλει· Ἀμήν.

Τότε ὁ Ἱερεὺς, καὶ ὁ Διάκονος, τὰ αὐτὰ πράττουσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου.

Ὁ δὲ Ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ Ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβὼν, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας,

Καὶ αἴρων τῇ δεξιᾷ δεικνύει ὁμοίως μετ' εὐλαβείας τὸ ἅγιον Ποτήριον, λέγων ἐκφώνως.

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών· Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστὶ τὸ Αἷμά μου τὸ τῆς καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορὸς ψάλλει· Ἀμήν.

Ὁ Ἱερεὺς κλίνας τὴν κεφαλὴν, ἐπεύχεται μυστικῶς.

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν Ἄρτον τοῦτον, καὶ τὸ Ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλλετε, καὶ τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε. Μεμνημένοι οὖν, Δέσποτα, καὶ ἡμεῖς τῶν σωτηρίων αὐτοῦ Παθημάτων, τοῦ ζωοποιοῦ Σταυροῦ, τῆς τριημέρου Ταφῆς, τῆς ἐκ νεκρῶν Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς Ἀνόδου, τῆς ἐκ δεξιῶν σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς Καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερας αὐτοῦ Παρουσίας,

Ἐκφώνως ὁ Ἱερεύς.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ Χορὸς ψάλλει τὸ, Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ὁ Ἱερεὺς κλίνας τὴν κεφαλὴν, εὔχεται μυστικῶς.

Διὰ τοῦτο, Δέσποτα πανάγιε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν· οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς· ἀλλὰ

διὰ τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ' ἡμᾶς, θαῤῥοῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ προσθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, Ἅγιε Ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτὰ, καὶ ἁγιάσαι, καὶ ἀναδεῖξαι.

Ὁ Διάκονος ὑποτίθησι τὸ Ῥιπίδιον, ὅπερ ἐκράτει, ἢ Κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τῷ Ἱερεῖ· καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ εὐχόμενοι καθ' ἑαυτοὺς τὸ,

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. *Λέγουσι δὲ αὐτὸ μυστικῶς τρίς.*

Εἶτα.

Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς Ἀποστόλοις σου καταπέμψας, τοῦτο, ἀγαθὲ, μὴ ἀνταvέλῃς ἀφ' ἡμῶν.

Στίχ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Δόξα. Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.
Καὶ νῦν. Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε.
} *Ζήτει* σελ. 137.

Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ Διάκονος δείκνυσι τῷ Ὡραρίῳ τὸν ἅγιον Ἄρτον, καὶ λέγει μυστικῶς·

Εὐλόγησον Δέσποτα τὸν ἅγιον Ἄρτον.

Καὶ ὁ Ἱερεὺς ἀνιστάμενος σφραγίζει τὰ ἅγια Δῶρα, λέγων μυστικῶς·

Τὸν μὲν Ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος. Ἀμήν. Καὶ αὖθις ὁ αὐτός.

Εὐλόγησον Δέσποτα τὸ ἅγιον Ποτήριον.

Ὁ δὲ Ἱερεὺς εὐλογῶν, λέγει·

Τὸ δὲ Ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος· Ἀμήν.

Καὶ ὁ Ἱερεύς.

Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

Ὁ Διάκονος· Ἀμήν. Καὶ αὖθις ὁ αὐτὸς δεικνύων μετὰ τοῦ Ὡραρίου τὰ Ἅγια ἄμφω, λέγει·

Εὐλόγησον Δέσποτα τὰ ἀμφότερα.

Ὁ δὲ Ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ Ἅγια, λέγει·

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ.

Ὁ Διάκονος· Ἀμὴν, Ἀμὴν, Ἀμήν.

Καὶ τὴν κεφαλὴν ὁ Διάκονος ὑποκλίνας τῷ Ἱερεῖ, καὶ εἰπὼν τὸ, Μνήσθητί μου ἅγιε Δέσποτα τοῦ ἁμαρτωλοῦ, μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ Ῥιπίδιον αὖθις, ὡς πρότερον.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται.

Ἡμᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς Ἄρτου, καὶ τοῦ Ποτηριου μετέχοντας, ἑνώσαις ἀλλήλοις εἰς ἑνὸς Πνεύματος ἁγίου κοινωνίαν, καὶ μηδένα ἡμῶν εἰς κρίμα, ἢ εἰς κατάκριμα ποιήσαις μετασχεῖν τοῦ ἁγίου Σώματος, καὶ Αἵματος τοῦ Χριστοῦ σου· ἀλλ' ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων, Προπατόρων, Πατέρων, Πατριαρχῶν,

Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Διδασκάλων, καὶ παντὸς πνεύματος δικαίου, ἐν πίστει τετελειωμένου.

Εἶτα ἐκφώνως.

Ἐξαιρέτως τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Ὁ Χορὸς ψάλλει. Ἐπὶ σοὶ χαίρει.

Εἰδέ ἐστιν ἡ μεγάλη Πέμπτη, ψάλλει, κατ' Ἦχον πλ. β'.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ Λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε ἐν τῇ Βασιλείᾳ σου.

Εἰδέ ἐστι τὸ μέγα Σάββατον, ψάλλει τοῦτο τὸ παρὸν Τροπάριον, εἰς Ἦχον πλ. ά.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου, καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, προέρχεται σφαγιασθῆναι, καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς. Προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν Ἀγγέλων μετὰ πάσης Ἀρχῆς καὶ Ἐξουσίας, τὰ πολυόμματα Χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον· Ἀλληλούϊα.

Ὁ Διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν Τράπεζαν, καὶ τὰ Δίπτυχα τῶν τε ζώντων καὶ κεκοιμημένων, ὧν βούλεται, μνημονεύει.

Ὁ δὲ Ἱερεὺς εὔχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ· τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων· τοῦ Ἁγίου (τοῦ δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα ὁ Ἱερεὺς μνημονεύει ὧν θέλει ζώντων, καὶ τεθνεώτων· καὶ ὑπὲρ μὲν ζώντων λέγει·

Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος).

Ὑπὲρ δὲ τεθνεώτων, λέγει·

Ὑπὲρ ἀναπαύσεως, καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου (τοῦ δεῖνος), ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη, καὶ στεναγμὸς, ἀνάπαυσον αὐτὸν, ὁ Θεὸς ἡμῶν.

Καὶ τὴν Εὐχὴν ταύτην μυστικῶς.

Καὶ ἀνάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι σοῦ δεόμεθα, μνήσθητι, Κύριε, τῆς ἁγίας σου Καθολικῆς, καὶ Ἀποστολικῆς Ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ εἰρήνευσον αὐτὴν, ἣν περιεποιήσω τῷ τιμίῳ Αἵματι τοῦ Χριστοῦ σου, καὶ τὸν ἅγιον Οἶκον τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Μνήσθητι, Κύριε, τῶν τὰ Δῶρά σοι ταῦτα προσκομισάντων, καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν, καὶ ἐφ' οἷς αὐτὰ προσεκόμισαν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων. Ἄμειψαι αὐτοὺς τοῖς πλουσίοις σου καὶ

ἐπουρανίοις χαρίσμασι. Χάρισαι αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα. Μνήσθητι, Κύριε, τῶν ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ, καὶ εὐλαβείᾳ, καὶ ἀσκήσει, καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων, καὶ πιστοτάτων ἡμῶν Βασιλέων, οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς· ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον αὐτούς· ἐπισκίασον ἐπὶ τὴν κεφαλὴν αὐτῶν ἐν ἡμέρᾳ πολέμου· ἐνίσχυσον αὐτῶν τὸν βραχίονα· ὕψωσον αὐτῶν τὴν δεξιάν· κράτυνον αὐτῶν τὴν βασιλείαν· ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη, τὰ τοὺς πολέμους θέλοντα· χάρισαι αὐτοῖς βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην· λάλησον εἰς τὴν καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς Ἐκκλησίας σου, καὶ παντὸς τοῦ λαοῦ σου· ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Μνήσθητι, Κύριε, πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ τῶν ἐν Παλατίῳ ἀδελφῶν ἡμῶν, καὶ παντὸς τοῦ στρατοπέδου. Τοὺς ἀγαθοὺς ἐν τῇ ἀγαθότητί σου διατήρησον· τοὺς πονηροὺς, ἀγαθοὺς ποίησον ἐν τῇ χρηστότητί σου. Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος Λαοῦ, καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ ἐλέησον αὐτοὺς, καὶ ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ· τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ, καὶ ὁμονοίᾳ διατήρησον· τὰ νήπια ἔκθρεψον· τὴν νεότητα παιδαγώγησον· τὸ γῆρας περικράτησον· τοὺς ὀλιγοψύχους παραμύθησον· τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε· τοὺς πεπλανημένους ἐπανάγαγε, καὶ σύναψον τῇ ἁγίᾳ σου Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ· τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· χηρῶν πρόστηθι· ὀρφανῶν ὑπερά-

σπισον· αἰχμαλώτους ῥῦσαι· νοσοῦντας ἴασαι· τῶν ἐν βήμασι, καὶ ἐξορίαις, καὶ πάσῃ θλίψει, καὶ ἀνάγκῃ, καὶ περιστάσει ὄντων, μνημόνευσον, ὁ Θεὸς, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας· καὶ τῶν ἀγαπώντων ἡμᾶς, καὶ τῶν μισούντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Καὶ παντὸς τοῦ Λαοῦ σου μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα. Καὶ ὧν ἡμεῖς οὐκ ἐμνημονεύσαμεν δι' ἄγνοιαν, ἢ λήθην, ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον, ὁ Θεὸς, ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν, καὶ τὴν προσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ. Σὺ γὰρ εἶ, Κύριε, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ὁ τῶν χειμαζομένων σωτὴρ, ὁ τῶν πλεόντων λιμὴν, ὁ τῶν νοσούντων ἰατρός· αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς ἕκαστον, καὶ τὸ αἴτημα αὐτοῦ, οἶκον, καὶ τὴν χρείαν αὐτοῦ. Ῥῦσαι, Κύριε, τὴν Πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου.

Εἶτα ἐκφωνεῖ.

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος)· ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ Διάκονος λέγει πρὸς τῇ θύρᾳ στάς.

Τοῦ δεῖνος Πανιερωτάτου Μητροπολίτου, ἢ Ἐπισκόπου, (ὅστις ἂν ᾖ), καὶ ὑπὲρ τοῦ προσκομίζοντος

τὰ ἅγια Δῶρα ταῦτα· καὶ τὰ λοιπὰ μέχρι τοῦ, Καὶ πάντων καὶ πασῶν.

Καὶ ὁ Χορὸς ψάλλει· Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς Ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τῆς ἐμῆς ἀναξιότητος· συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων Δώρων. Μνήσθητι, Κύριε, τοῦ Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος, καὶ μηδένα ἡμῶν καταισχύνῃς, τῶν κυκλούντων τὸ ἅγιόν σου Θυσιαστήριον. Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου Κύριε· ἐπιφάνηθι ἡμῖν ἐν τοῖς πλουσίοις σου οἰκτιρμοῖς· εὐκράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι· ὄμβρους τῇ γῇ πρὸς καρποφορίαν δώρησαι· εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· παῦσον τὰ σχίσματα τῶν Ἐκκλησιῶν· σβέσον τὰ φρυάγματα τῶν Ἐθνῶν· τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ταχέως κατάλυσον, τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος· πάντας ἡμᾶς πρόσδεξαι εἰς τὴν Βασιλείαν σου, υἱοὺς φωτὸς, καὶ υἱοὺς ἡμέρας ἀναδείξας· τὴν σὴν εἰρήνην, καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Ἐκφώνως.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ δοξάζειν, καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς ἐπιστρέφει πρὸς τῇ θύρᾳ, καὶ εὐλογῶν, λέγει ἐκφώνως·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων ἡμῶν.

Καὶ ὁ Διάκονος ἐξέρχεται, (εἰ ἔστιν, εἰδ' οὖ ὁ Ἱερεὺς), καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πάντων τῶν Ἁγίων μνημονεύσαντες. Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Καὶ τὰ λοιπὰ, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ.

Ὑπὲρ τῶν προσκομισθέντων.
Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως ὑπὲρ τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας, καὶ ποιεῖς μεθ' ἡμῶν. Σὺ ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος τὰ Δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δίδαξον ἁγιωσύνην ἐπιτελεῖν ἐν φόβῳ σου· ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου, ἑνωθῶμεν τῷ ἁγίῳ Σώματι, καὶ Αἵματι τοῦ Χριστοῦ σου· καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν Χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν, καὶ γενώμεθα ναὸς τοῦ ἁγίου σου Πνεύματος. Ναὶ, ὁ Θεὸς ἡμῶν, καὶ μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων, καὶ ἐπουρανίων Μυστηρίων, μηδὲ ἀσθενῆ ψυχῇ καὶ σώματι, ἐκ τοῦ ἀναξίως τούτων μεταλαμβάνειν· ἀλλὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχά-

της ἡμῶν ἀναπνοῆς, ἀξίως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου· ὅπως ἂν καὶ ἡμεῖς μετὰ πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων, γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε Κύριε.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.
Τὴν ἡμέραν πᾶσαν τελείαν.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν.
Συγγνώμην καὶ ἄφεσιν.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς.
Τὸν ὑπόλοιπον χρόνον.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν.
Τὴν ἑνότητα τῆς Πίστεως.

Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως, τολμᾷν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν.

Ὁ Λαὸς τὸ, Πάτερ ἡμῶν.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι σου ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται.

Δέσποτα Κύριε, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυ-

τῶν κεφαλὰς εὐλόγησον, ἁγίασον, ἐνδυνάμωσον, ὀχύρωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον, παντὶ δὲ ἔργῳ ἀγαθῷ σύναψον, καὶ καταξίωσον ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου τούτων, καὶ ζωοποιῶν Μυστηρίων, *εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς* Πνεύματος *ἁγίου κοινωνίαν.*

'Εκφώνως.

Χάριτι, *καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου* Υἱοῦ, *μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου* Πνεύματι, *νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.* 'Αμήν.

'Ο 'Ιερεὺς *ἐπεύχεται.*

Πρόσχες, Κύριε 'Ιησοῦ Χριστὲ ὁ Θεὸς *ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ* Πατρὶ *συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ, μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου* Σώματός *σου, καὶ τοῦ τιμίου* Αἵματος, *καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.*

'Εκφώνως.

'Ο Διάκονος· *Πρόσχωμεν.*

'Ο 'Ιερεύς· Τὰ *Ἅγια τοῖς* 'Αγίοις.

Εἶτα τῆς Μεταλήψεως τελειωθείσης, *καὶ τῶν ἁγίων* Μυστηρίων *ἀπὸ τῆς ἱερᾶς ἀρθέντων* Τραπέζης, *ἐπεύχεται ὁ* 'Ιερεύς.

Εὐχαριστοῦμέν *σοι* Κύριε *ὁ* Θεὸς *ἡμῶν, ἐπὶ τῇ* Μεταλήψει *τῶν ἁγίων, ἀχράντων, ἀθανάτων, καὶ ἐπουρανίων σου* Μυστηρίων, *ἃ ἔδωκας ἡμῖν ἐπ' εὐεργεσίᾳ, καὶ ἁγιασμῷ, καὶ ἰάσει τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.* Αὐτὸς, Δέσποτα *τῶν ἁπάντων, δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου* Σώματος, *καὶ* Αἵματος

τοῦ Χριστοῦ σου, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματος τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Ὀρθοὶ μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, καὶ ζωοποιῶν Μυστηρίων.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεός.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν.

Ὁ δὲ Ἱερεὺς ἐκφωνεῖ.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς· Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Ὀπισθάμβωνος, ἐκφωνουμένη παρὰ τοῦ Ἱερέως.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν Λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ Οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς Ἱερεῦσι, τοῖς Βασιλεῦσιν ἡμῶν, τῷ Στρατῷ, καὶ παντὶ τῷ Λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμ-

πομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ Ἅγια.

Ἤνυσται, καὶ τετέλεσται, ὅσον εἰς τὴν ἡμετέραν δύναμιν, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὸ τῆς σῆς οἰκονομίας Μυστήριον· ἔχομεν γὰρ τοῦ θανάτου σου τὴν μνήμην, εἴδομεν τῆς ἀναστάσεώς σου τὸν τύπον, ἐνεπλήσθημεν τῆς ἀτελευτήτου σου ζωῆς, ἀπηλαύσαμεν τῆς ἀκενώτου σου τρυφῆς, ἧς καὶ ἐν τῷ μέλλοντι αἰῶνι πάντας ἡμᾶς καταξιωθῆναι εὐδόκησον. Χάριτι τοῦ ἀνάρχου σου Πατρὸς, καὶ τοῦ ἁγίου, καὶ ἀγαθοῦ, καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τέλος τῆς Θείας Λειτουργίας τοῦ Μεγάλου Βασιλείου.